ΔΗΜΗΤΡΙΟΥ Ν.
ΓΥΜΝΑΣΙΑΡΧΟΥ ΤΟΥ ΠΑΡΑ ΤΩι ΔΙΔΑΣΚΑ
ΠΡΟΤΥΠΟΥ ΚΛΑΣΣΙΚΟΥ

ΠΑΙΔΑΓΩΓΙΚΗ Η .ΚΗ

XII.

ΑΝΘΟΛΟΓΙΑ

ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ ΛΥΡΙΚΩΝ

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Κ. ΚΑΜΙΝΑΡΗ & Π. ΚΥΡΙΑΚΟΥ
1923

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

1923 τομ

ΙΑ΄. Η ΕΛΕΓΕΙΑ

1. Καλλῖνος.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπεριρρυτίονας,
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει...
καί τις ἀποθνῄσκων ὕστατ' ἀκοντισάτω. |
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'. | ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἕλσας, τὸ πρῶτον μειγνυμένου πολέμου. |
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἄνδρ', οὐδ' εἰ προγόνων ἦ γένος ἀθανάτων.
πολλάκι δηιοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου. |
ἀλλ' ὃ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνῄσκοντος, ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

2. Τυρταῖος 1.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον. |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι 5
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται,
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατά τ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται. | 10
εἰ δ' οὕτως ἀνδρός τοι ἁλωμένου οὐδεμί' ὥρη
γίγνεται, οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,
θυμῷ γῆς πέρι τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνῄσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες, 15
μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς. | 20
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλαισ' ἐν χερσὶν ἔχοντα, 25
αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὰ ἰδεῖν—
καὶ χρόα γυμνωθέντα· | νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών. | 30
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3. 2.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ'· οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὴν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας 5
κῆρας ὁμῶς αὐγαῖσ' ἠελίοιο φίλας.
ἴστε γὰρ Ἄρηος πολυδακρύου ἔργ' ἀίδηλα·
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ θαμὰ φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' ἐς κόρον ἠλάσατε. 10
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα, 15
ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
ῥιγαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηίῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσιν
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος. 20
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος, 25
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδειν δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζων,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων,
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δήιον ἄνδρ' ἑλέτω· 30

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ πόδα παρ ποδὶ θεὶς καὶ ἐπ᾽ ἀσπίδος ἀσπίδ᾽ ἐρείσας,
ἓν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών. |
ὑμεῖς δ᾽, ὦ γυμνῆτες, ὑπ᾽ ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισιν πλησίον ἱστάμενοι.

4. 3.

Οὔτ᾽ ἂν μνησαίμην οὔτ᾽ ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῇ οὔτε παλαισμοσύνης,
οὐδ᾽ εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρήϊκιον Βορέην,
οὐδ᾽ εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ᾽ εἰ Ταντα‿λίδεω Πέλοπος βασι‿λεύτερος εἴη,
γλῶσσαν δ᾽ Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ᾽ εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς,
— οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ —
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηΐων ὀρέγοιτ᾽ ἐγγύθεν ἱστάμενος. |
ἥδ᾽ ἀρετή, τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ᾽ ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ᾽ ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ· |
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ᾽ ἔσχεθε κῦμα μάχης· |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης 25
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποισ' ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω, 30
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ. |
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο, 35
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μὲν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀίδην·
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει, 40
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι. |
ταύτης νύν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

[[5. 4.

Ἄγετ', ὦ Σπάρτας εὐάνδρω
κῶροι πατέρων πολιατᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως ἄνσχεσθε
μὴ φειδόμενοι τᾶς ζωᾶς· 5
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.]]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6. Μίμνερμος 1.

Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη
ἔαρος, ὅτ' αἶψ' αὐγῆσ' αὔξεται ἠελίου,
τοῖσ' ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ' ἀγαθόν. | Κῆρες δὲ παρεστήκασι μέλαιναι, 5
ἣ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
καρπός, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος· |
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα τεθνάμεναι βέλτιον ἢ βίοτος· | 10
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει·
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀίδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἔστιν 15
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

7. 2.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος δμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· | τὸ δ' ἀργαλέον καὶ ἄμορφον 5
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

8. Σόλων 1.

Αὐτὸς κήρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος . . . |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινήτης
ἀντί γ' Ἀθηναίου πατρίδ' ἀμειψάμενος·
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο· 5
,Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμιναφετῶν!'..
ἴομεν ἐς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς, χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

9. 2.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔ ποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν 5
ἀστοὶ βούλονται χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ... 10
πλουτοῦσιν δ' ἀδίκοισ' ἔργμασι πειθόμενοι...
οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ θέμεθλα Δίκης,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα, 15
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτεισομένη.
τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον·
ἐς δὲ κακὴν ταχέως ἦλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην· 20
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖσ' ἀδικοῦσι φίλαις·
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες,
καὶ κακὰ δουλοσύνης στυγνὰ φέρουσι βίᾳ.
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
εἰ καί τις φεύγων ἐν μυχῷ ἢ θαλάμου. |
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομίη παρέχει,
εὐνομίη δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει
καί θ' ἅμα τοῖσ' ἀδίκοισ' ἀμφιτίθησι πέδας·
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

10. 3.

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται, ἐς δὲ μονάρχου
δῆμος ἀιδρίῃ δουλοσύνην ἔπεσεν·
λίην δ' ἐξάραντ' οὐ ῥᾴδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ' ἤδη χρὴ περὶ πάντα νοεῖν.

11. 4.

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην. |
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἱμύλου ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

12. 5.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοισ', ἐχθροῖσι δὲ πικρόν, 5
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ', ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν· 10
ὃν δ' ἄνδρες μετίωσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοισ' ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτῃ·
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ. 15
οὐ γὰρ δὴν θνητοῖσ' ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κάτα πυροφόρον 20
δῃώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ, 25
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος·
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλ᾽ ὃ μὲν αὐτίκ᾽ ἔτεισεν, ὃ δ᾽ ὕστερον· οἳ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ᾽ ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω. |
θνητοὶ δ᾽ ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε,
ἐνδεῖν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ᾽ αὖτις ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαισ᾽ ἐλπίσι τερπόμεθα. |
χὦστις μὲν νούσοισιν ὑπ᾽ ἀργαλέῃσι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
[ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ
καὶ καλός, μορφὴν οὐ χαρίεσσαν ἔχων·]
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσεσθαι πάντως χρήματα πολλὰ δοκεῖ. |
σπεύδει δ᾽ ἄλλοθεν ἄλλος· ὃ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ᾽, ἀνέμοισι φορεύμενος ἀργαλέοισιν,
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος· |
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσιν καμπύλ᾽ ἄροτρα μέλει· |
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον· |
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθεὶς
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος· |
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ᾽ ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ᾽ ἱερά· |
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖσ᾽ οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ᾽ ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαιτ᾽ ἤπια φάρμακα δούς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν δὲ κακῇς νούσοισι κακούμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν,
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν, 65
ᾗ μέλλει σχήσειν, χρήματος ἀρχομένου,
ἀλλ' ὃ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσι,
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης. 70

13. Ξενοφάνης 1.

[[Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔτε δέμας θνητοῖσιν ὁμοίιος οὔτε νόημα.
οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει.

14. 2.

. . . ἀλλ' εἰ χεῖρας ἔχον βόες ἠὲ λέοντες,
ὡς γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίευν
τοιαῦθ', οἷόν περ καὐτοὶ δέμας εἶχον ἕκαστοι,
ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖα. 5

15. 3.

Πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε,
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν,
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν,
καὶ πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα.]]

16. 4.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεῖ στεφάνους
ἄλλος· ὃ δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κρητὴρ δ' ἕστηκεν μεστὸς ἐυφροσύνης·
ἄλλος δ' οἶνος ἑτοῖμος, ὃς οὔ ποτε φησὶ προδώσειν, 5
μείλιχος ἐν κεράμοισ', ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοισ' ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησιν·
ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκειν�δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη· 10
βωμὸς δ' ἄνθεσιν ἀν τὸ μέσον πάντῃ πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὴ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις·
σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι 15
πρήσσειν—ταῦτα γὰρ ὧν ἐστι προχειρότερον—
οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος·
ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὥς οἱ μνημοσύνη καὶ πόνος ἀμφ' ἀρετῆς, 20
οὔτι μάχας διέπειν Τιτήνων οὐδὲ Γιγάντων,
οὐδ' αὖ Κενταύρων, πλάσματα τῶν προτέρων,
ἢ στάσιας σφεδανάς· τοῖσ' οὐδὲν χρηστὸν ἔνεστιν·
θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθόν.

17. 5.

Ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
παρ Πίσαο ῥοῇσ' ἐν Ὀλυμπίῃ, εἴτε παλαίων,
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ δεινὸν ἄεθλον, ὃ παγκράτιον καλέουσιν,
ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν,
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σῖτ' εἴη δημοσίων κτεάνων
ἐκ πόλιος καὶ δῶρον, ὃ οἱ κειμήλιον εἴη·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἴτε καὶ ἵπποισιν, ταῦτά κε πάντα λάχοι, 10
οὐκ ἐὼν ἄξιος, ὥσπερ ἐγώ· | ῥώμης γὰρ ἀμείνων
ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται· οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης. |
οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λαοῖσι μετείη 15
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τό περ ἐστὶ πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει,
τοὔνεκεν ἄν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη·
σμικρὸν δ' ἄν τι πόλι χάρμα γένοιτ' ἐπὶ τῷ, 20
εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας·
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλιος.

18. Θέογνις 1.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ,
φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχειδέι λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη, 5
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

19. 2.

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε
τῇσδε πόλευς, ἵνα τοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ' ἑκατόμβας, 5
τερπόμενοι κιθάρῃ τ' ἠδ' ἐρατῇ θαλίῃ
παιάνων τε χοροῖσ' ἰαχῇσί τε σὸν περὶ βωμόν. |
ἦ γὰρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν
καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σύ, Φοῖβε,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν. 10

20. 3.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἄδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν 5
οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρέμ' ἔσεσθαι,
μηδ' εἰ νῦν πολλῇ κεῖται ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα. | 10
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν
μούναρχοί θ'· ἃ πόλι μήποτε τῇδε ἄδοι.

21. 4.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι·
οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν οὔτε νόμους,
ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος.
καὶ νῦν εἰσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ 5
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.

22. 5.

Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἷα πρὶν ἤδη,
οὐκ ἂν ἀνιώμην τοῖσ' ἀγαθοῖσι συνών·
νῦν δέ με γινώσκοντα παρέρχεται, εἰμὶ δ' ἄφωνος
χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι,
οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες 5

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν· |
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
ἀμφοτέρων τοίχων· ἦ μάλα τις χαλεπῶς
σώζεται, οἷ' ἔρδουσι· κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν, ὅτις φυλακὴν εἶχεν ἐπισταμένως· 10
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλεν,
δασμὸς δ' οὐκέτ' ἴσος γίνεται εἰς τὸ μέσον,
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
δειμαίνω, μήπως ναῦν κατὰ κῦμα πίῃ. |
ταῦτά μοι ἠνίχθω κεκρυμμένα τοῖσ' ἀγαθοῖσιν· 15
γινώσκοι δ' ἄν τις καὶ κακός, ἢν σοφὸς ᾖ.

23. 5.

Ἁ δειλὴ πενίη, τί ἐμοῖσ' ἐπικειμένη ὤμοις
σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ κακὰ πολλὰ διδάσκεις,
ἐσθλὰ μετ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.

24. 6.

Ὄρνιθος φωνήν, Πολυπαΐδη, ὀξὺ βοώσης
ἤκουσ', ἥ τε βροτοῖσ' ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγροὺς
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου 5
τῆς μάλα μισητῆς εἵνεκα ναυτιλίης.

25. 7.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ ἐς Σικελήν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ' Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ
καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον·
ἀλλ' οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων. 5

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

26. 8.

Τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη·
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
μόχθει μηδ' ἄχθευ, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε. | θεῶν δ' εἱμαρμένα δῶρα 5
οὐκ ἂν ῥηιδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

27. 9.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστι δίκαιον,
ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν,
ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια πάθῃ ; |
τίς δή κεν βροτὸς ἄλλος ὁρῶν πρὸς τοῦτον, ἔπειτα 5
ἄζοιτ' ἀθανάτους, καὶ τίνα θυμὸν ἔχων,
ὁπότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρῶν
οὔτε τευ ἀθανάτων μῆνιν ἀλευόμενος,
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
τρύχωνται χαλεπῇ τειρόμενοι πενίῃ ; 10

28. 10.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γαῖαν ἐφεσσάμενον.

29. 11.

Ἀλλά, Ζεῦ, τέλεσόν μοι, Ὀλύμπιε, καίριον εὐχήν·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ' εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίην δ' ἀντ' ἀνιῶν ἀνίας.
αἶσα γὰρ οὕτως ἐστί· τίσις δ' οὐ φαίνεται ἡμῖν 5
ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ
συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
χειμάρρῳ ποταμῷ πάντ' ἀποσεισάμενος.
τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ' ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε. 10

30. 12.

Ἓν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖσ' ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

31. 13.

Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. |
τοὶ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν, 5
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν,
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

32. 14.

Μήποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
εὖτ' ἂν σπουδαῖον χρῆμ' ἐθέλῃς τελέσαι,
ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βουλεύεο πολλὰ μογήσας
καὶ μακρὴν ποσσίν, Κύρν', ὁδὸν ἐκτελέσας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

33. 15.

Εἴ τις ἐπαινήσῃ σε τόσον χρόνον, ὅσσον ὁρῴης,
νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἵῃσι κακήν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλός,
ὅς κ' εἴπῃ γλώσσῃ λώια, φρονῇ δ' ἕτερα.
ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὅς τὸν ἑταῖρον
γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καί ποτέ μευ μνήσεαι ἐξοπίσω.

34. 16.

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλας,
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος,
ἀλλὰ φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
ὅς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δειλός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

35. 17.

Παύρους δ' εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γινομένους,
οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
τόσσους δ' οὔ χ' εὕροις διζήμενος οὐδ' ἐπὶ πάντας
ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδώς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.

36. 18.

Δειλοὺς εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις·
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον, ἢν δ' ἐν ἁμάρτῃς, 5
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

37. 19.

Μήποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε·
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

38. 20.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον
ῥιπτεῖν, καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν 5
οὔθ' ἕρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

39. 21.

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
ὅστε καὶ ἐξ Ἀίδεω πολυϊδρείῃσιν ἀνῆλθεν, 5
πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ᾗ τε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο·—
ἄλλος δ' οὔπω τις τοῦτό γ' ἐπεφράσατο,
ὅν τινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
ἔλθῃ δ' ἐς σκιερὸν χῶρον ἀποφθιμένων, 10

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κυανέας τε πύλας παραμείψεται, αἵ τε θανόντων
ψυχὰς ἔργουσιν καί περ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου σφῇσι πολυφροσύνῃς· —
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν
καὶ παίδων Βορέω, τῶν ἄφαρ εἰσὶ πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

40. 22.

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.
ἐν δὲσ δικαισύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

41. 23.

Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη· Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ', οὐδὲ μὲν εὐνομίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεοὺς Ἐλπίδα προσμενέτω,
εὐχόμενος δὲ θεοῖσι καὶ ἀγλαὰ μηρία καίων
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδέν' ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοισ' ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖσ' ἔργοις σύμβολα θηκάμενοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

42. 24.

Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ᾽ αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐδ᾽ ὑάκινθος,
οὔτε ποτ᾽ ἐκ δούλης τέκνον ἐλευθέριον.

43. 25.

Πολλοῖσ᾽ ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ᾽ ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ᾽ ἐξελθὸν λώιον ἢ τὸ κακόν.

44. 26.

Εἴ μ᾽ ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ᾽ ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
εὑρήσεις δέ με πᾶσιν ἐπ᾽ ἔργμασιν ὥσπερ ἄπεφθον
χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ,
τοῦ χροιῆς καθύπερθεν μέλας οὐχ ἅπτεται ἰὸς 5
οὐδ᾽ εὐρώς, αἰεὶ δ᾽ ἄνθος ἔχει καθαρόν.

45. 27.

Σοὶ μὲν ἐγὼ πτέρ᾽ ἔδωκα, σὺν οἷσ᾽ ἐπ᾽ ἀπείρονα πόντον
πωτήσῃ καὶ γῆν πᾶσαν ἀειρόμενος
ῥηιδίως· | θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν·
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες 5
εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται· | καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
βῇς πολυκωκύτους εἰς Ἀίδαο δόμους,
οὐδέποτ᾽ οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
ἄφθιτον ἀνθρώποισ᾽ αἰὲν ἔχων ὄνομα, 10

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους
ἰχθυόεντα περῶν πόντον ἔπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων·
πᾶσι δ', ὅσοισι μέμηλε, καὶ ἐσσομένοισιν ἀοιδὴ 15
ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.

46. Σιμωνίδης

<Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·>
ἓν δέ, τὸ κάλλιστον, Χῖος ἔειπεν ἀνήρ·
‚οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.‘ |
παῦροι μὲν θνητῶν οὔασι δεξάμενοι
στέρνοισ' ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ, 5
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται. |
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχῃ πολυηράτου ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν οὐδὲ θανεῖσθαι,
οὔθ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου. | 10
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότοι' ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

ΙΒ΄. ΕΠΙΓΡΑΜΜΑ

Α΄. Ἐπιτύμβια.

47. 1. Ἀδέσποτον

Εἴτ' ἀστός τις ἀνὴρ εἴτε ξένος ἄλλοθεν ἐλθὼν
Τέττιχον οἰκτίρας ἄνδρ' ἀγαθὸν παρίτω,
ἐν πολέμῳ φθίμενον νεαρὰν ἥβην ὀλέσαντα·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταῦτ' ἀποδυράμενοι νεῖσθ'(ε) ἐπὶ πρᾶγμ' ἀγαθόν.

48. 2. »

Ἄνθρωπ'(ε), ὃς στείχεις καθ' ὁδὸν φρασὶν ἄλλα μενοινῶν,
στῆθι καὶ οἴκτιρον σῆμα Θράσωνος ἰδών.

49. 3. Σιμωνίδου

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

50. 4. »

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

51. 5. »

Ὦ ξεῖν'(ε), εὔυδρόν ποκ' ἐναίομες ἄστυ Ϙορίνθου·
νῦν δ' ἄμ'(ὲ) Αἴαντος νᾶσος ἔχει Σαλαμίς.

52. 6. Ἀδέσποτον

Ἐν τῷ Μουσείῳ Κερκύρας:

Σᾶμα τόδ' Ἀρνιάδα Χάροπος· τὸν δ' ὤλεσεν Ἄρης
βαρνάμενον παρὰ ναυσὶν ἐπ' Ἀράθθοιο ρhοϝαῖσι
πολλὸν ἀριστεύοντα κατὰ στονόϝεσσαν ἀϝυτάν.

53. 7. Πλάτωνος

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης!

54. 8. Σιμωνίδου

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ ξένι', οἱ δ' ὑπὸ γᾶν θέντες ὄναιντο βίου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

55. 9. »

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτήρ,
ὃς καὶ τεθνηὼς ζῶντ' ἀπέδωκε χάριν.

56. 10. »

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.

57. 11. Καλλιμάχου

Ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμὸν οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

58. 12. Ἀνακρέοντος

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

59. 13. Ἀρχιλόχου

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφώντά τε Νάξου
κίονας, ὦ μεγάλη γαῖ', ὑπένερθεν ἔχεις.

60. 14. Καλλιμάχου

Ὤφελε μηδ' ἐγένοντο θοαὶ νῆες· οὐ γὰρ ἂν ἡμεῖς
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν·
νῦν δ' ὃ μὲν εἰν ἁλί που φέρεται νέκυς, ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.

61. 15. Λεωνίδου

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος· οἱ δ' ἀνάγονται,
φεῦ τόλμης! ἀπ' ἐμοῦ πείσματα λυσάμενοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

62. 16. Ἀνύτης

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτε· νῦν δὲ τεθνηκὼς
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

63. 17. [Ἵππωνος]

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν Μοῖρα καταφθίμενον.

64. 18. Πλάτωνος

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

65. 19. »

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἔρως,
νῦν δὲ θανὼν λάμπεις ἕσπερος ἐν φθιμένοις.

66. 20. Ἀδέσποτον

Ἐν τῷ Μουσείῳ Θηβῶν:

Ἀνίκα τὸ Σπάρτας ἐκράτει δόρυ, τηνάκις εἶλεν
Ξεινοκράτης κλάρῳ Ζηνὶ τροπαῖα φέρειν,
οὐ τὸν ἀπ' Εὐρώτα δείσας στόλον οὐδὲ Λάκαιναν
ἀσπίδα·, Θηβαῖοι κρείσσονες ἐν πολέμῳ·
καρύσσει Λεύκτροις νικαφόρα δουρὶ τροπαῖα, 5
οὐδ' Ἐπαμεινώνδα δεύτεροι ἐδράμομεν.

67. 21. »

Ἐν τῷ Μουσείῳ Τεγέας:

Ἄσβεστον Τεγέᾳ τε καὶ Ἀρκάσιν ἐξέτι τηλοῦ
κῦδος ἀπ' ἀρχαίων πέπταται ἁγεμόνων·
οἵδε δ' ἐπειγόμενοι πατέρων κλέος ἶσον ἀρέσθαι
ῥυόμενοι γαῖαν ἀμφιέσαντο κόνιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

68. 22. Παρμενίωνος

Φθίσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴ περ ἀληθὴς
Φοῖβος· ἀνικήτων ἅπτεται οὐδ' Ἀίδης.

69. 23. Ἀδέσποτον

Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες,
οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

70. 24. »

Ἐν τῷ Μουσείῳ Θέρμου:

Ἅλσει ἐνὶ χρυσέῳ σε βοαδρομέοντα σὺν ἵππῳ,
σωκίσι Τείθρωνος κτεῖνεν ὑπὸ στεφάναις
δυσμενέων κρυφθεὶς ἄφατος λόχος, ἄξια πάτρας,
δεξιὰ δ' Οἰνειδᾶν μησάμενον προγόνων.
μναμόσυνον δὲ πατὴρ μορφᾶς σέθεν εἵσατο τόνδε 5
χαλκόν, Ἀπόλλωνος παρ τριπόδεσσι, Δράκων,
ὅς σε καὶ ἐν φθιμένοισιν ἐόντ' εἰς φέγγος ἀνάξει·
φθιτῶν ὡς ἀγαθῶν οὐκ ἀπόλωλ'(ε) ἀρετά.

71. 25. Ἀδέσποτον

Εἴκοσι Καλλικράτεια καὶ ἐννέα τέκνα τεκοῦσα,
οὐδ' ἑνὸς οὐδὲ μιῆς ἐδρακόμην θάνατον,
ἀλλ' ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτούς,
σκίπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.

72. 26. Τίμωνος τοῦ μισανθρώπου

Ἐνθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
τοὔνομα δ' οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.

73. 27. Ἀσκληπιάδου

Ἅδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Αἰαντος τύμβῳ κειρομένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἰ παρ' Ἀχαιοῖς
ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ δύναται.

74. 28. Ἀνύτης

Λοίσθια δὴ τάδε πατρὶ φίλῳ περὶ χεῖρε βαλοῦσα
εἶπ' Ἐρατὼ χλωροῖς δάκρυσι λειβομένα·
‚Ὦ πάτερ, οὔ τοι ἔτ' εἰμί, μέλας δ' ἐμὸν ὄμμα καλύπτει
ἤδη ἀποφθιμένας κυάνεος θάνατος.'

75. 29. Σιμίου

Ὕστατα δὴ τάδ' ἔειπε φίλαν ποτὶ ματέρα Γοργὼ
δακρυόεσσα δέρας χερσὶν ἐφαπτομένα·
‚Αὖθι μένοις παρὰ πατρί, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλαν σῷ πολιῷ γήραϊ καδεμόνα.'

76. 30. Ἀνύτης

Ἀντί τοι εὐλεχέος θαλάμου σεμνῶν θ' ὑμεναίων
μάτηρ στῆσε τάφῳ τῷδ' ἐπὶ μαρμαρίνῳ
παρθενικὰν μέτρον τε τεὸν καὶ κάλλος ἔχοισαν,
Θερσί· ποτιφθεγκτὰ δ' ἔπλεο καὶ φθιμένα.

77. 31. »

Πολλάκι τῷδ' ὀλοφυδνὰ κόρας ἐπὶ σάματι Κλεινὼ
μάτηρ ὠκύμορον παῖδ' ἐβόασε φίλαν,
ψυχὰν ἀγκαλέουσα Φαλαινίδος, ἃ πρὸ γάμοιο
χλωρὸν ὑπὲρ ποταμοῦ χεῦμ' Ἀχέροντος ἔβα.

78. 32. Ἠρίννης

Νύμφας Βαυκίδος εἰμί· πολυκλαύταν δὲ παρέρπων
στάλαν τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀίδᾳ·
‚Βάσκανός ἐσσ', Ἀίδα·' τὰ δέ τοι καλὰ σάμαθ' ὁρῶντι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ' ὑμέναιος ἐφ' αἷς ἀείδετο πεύκαις 5
τᾶσδ' ἐπὶ καδεστὰς ἔφλεγε πυρκαϊᾶς
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν
ἐς θρήνων γοερὸν φθέγμα μεθαρμόσαο.

79. 33. »

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,
ὅστις ἔχεις Ἀίδα τὰν ὀλίγαν σποδιάν,
τοῖς ἐμὸν ἐρχομένοισι ποτ' ἠρίον εἴπατε χαίρειν,
αἴτ' ἀστοὶ τελέθωντ' αἴθ' ἑτεροπτόλιες.
χὦτί με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό, 5
χὦτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὦτι γένος
Τηλία, ὡς εἰδῶντι, καὶ ὅττι μοι ἁ συνεταιρὶς
Ἤριννα ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

80. 34. Ἀδέσποτον

Ἐν τῷ Μουσείῳ Βόλου:

Λυπρὸν ἐφ' Ἡδίστῃ Μοῖραι τότε νῆμ' (α) ἀπ' ἀτράκτων
κλῶσαν, ὅτ' (ε) ὠδῖνος νύμφη ἀπηντίασεν·
σχετλίη! οὐ γὰρ ἔμελλε τὸ νήπιον ἀγκαλιεῖσθαι,
μαστῷ τ' (ε) ἀρδεύσειν χεῖλος ἑοῖο βρέφους·
ἓν γὰρ ἐσεῖδε φάος καὶ ἀπήγαγεν εἰς ἕνα τύμβον 5
τοὺς δισσούς, ἀκρίτως τοῖσδε μολοῦσα, Τύχη.

81. 35. »

Ἐν τῷ Μουσείῳ Λαρίσης:

Παρθένος οὖσα τέθνηκα Λεοντὼ ὡς νέον ἄνθος
ὥρης παντοθαλοῦς πρωτοφανὴς καλύκων·
καὶ μέλλουσα γάμῳ δεκαπενταετὴς μείγνυσθαι
ἐν φθιμένοις κεῖμαι ὕπνον ἔχουσα μακρόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

82. 36. »

Ἐν τῷ Μουσείῳ Μεγαλοπόλεως:

Τὴν πᾶσιν θαυμαστὰ βίον κυκλοτέρμονα σεμνὸν
λείπουσαν ζωῆς τύμβος ὅδ' ἀμφιέπει·
ἣν δ' ὄνομα ζητῇς, Διονυσία, ἣν μακαρίζει
πᾶς ὁ γνοὺς θείας ἃς ἔλαβεν χάριτας.
ἡνίκα γὰρ λυκάβαντας ἔθ' ἡλικίης δεκαπέντε
ἔσχεν, παντοκράτωρ λάτριν ἑὴν ἔθετο
Εἶσις, ταῖς δ' ἰδίαις κόσμησεν στολίσιν·
ἑξήκοντα δ' ἐτῶν ὅτε δὴ χρόνον ἡ λάτρις ἔσχεν,
τὴν ὁσίην ὁσίως στείλαθ' ἑὴν πρόπολον·
λουτρὸν γὰρ φαίδρυνε καλὸν χρόα· πλεξαμένη δὲ
τοὺς ἱεροὺς πλοκάμους ἵλλαθ' ὑγραῖς σταγόσιν
βωμὸν δ' ὡς προσιοῦσ' εὐχὰς θέτο, σεμνὴ ἅπασιν
ἄστρ' ἔβα· ὡς ἀνόσως ᾤχετ' ἐς ἡμιθέους.

83. 37. »

Ἐν τῷ Μουσείῳ Δημητσάνης:

Ἐνθάδε νηπιάχων παίδων κατὰ γαῖα καλύπτει
ὀστέ', ἅ γε σχετλίη θάψε πατὴρ παλάμῃ.
στυγνὴ ἀπήντας, Μοῖρα· μί' ἡμέρη ἔκτανε παῖδας,
αὐτίκα τ' εἶδε γυνὴ δεινὸν ἐσάντ' Ἀίδην.
πρῶτος μὲν κούρῃ λυκάβας προγενεστέρῃ ἦεν,
ἀρτίτοκος δ' ἔμπης κάτθανεν ὁπλοτέρη (ι)·
ἣ δ' ἔχεν ἐν κόλποις μήτηρ δύο φίλτατα τέκνα,
δῦνεν Φερσεφόνης δώματ' ἀμειψαμένη.

84. 38. »

Ἐκ Μυτιλήνης (ἄγνωστον ποῦ ἀποκείμενον):

Παρθενόπην κύνα θρέψεν ἄναξ ἑός, ᾗ συνάθυρεν,
ταύτην τερπωλῆς ἀντιδιδοὺς χάριτα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἔστ' ἆθλον στοργῆς ἄρα καὶ κυσίν, ὥς νυ καὶ ἥδε
εὔνους οὖσα τροφεῖ σῆμα λέλογχε τόδε.
Ἐς τόδ' ὁρῶν χρηστὸν ποιοῦ φίλον, ὅς τε προθύμως 5
καὶ ζῶντα στέργοι καὶ νεκρὸν ἀμφιέποι.

85. 39. Γαιτουλικοῦ

Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ
αἱμάξας Ἑλικῶνα τὸν ἥμερον. Οἶδε Λυκάμβης
μυρόμενος τρισσῶν ἄμματα θυγατέρων.
ἠρέμα δὴ παράμειψον, ὁδοιπόρε, μήποτε τοῦδε 5
κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.

86. 40. Ἀδέσποτον

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
Μοῖρα λινοκλώστου δεσπότις ἠλακάτης·
σὸς δ' ἐπέων, Ἤριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ 5
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσιν.

87. 41. Σιμωνίδου

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε μῆτερ ὀπώρας,
οὔλης ἢ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηίου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ καὶ λεπτῷ χώματι τῷδε τάφου·
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλοκώμοις 5
πανυχίσιν κρούων τὴν φιλόπαιδα χέλυν
κὴν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων. 10

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

88. 42. Ἀδέσποτον

Ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων
σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

89. 43. Ἀντιπάτρου Σιδωνίου

Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων
χαλκευτάν, κατέχει Πίνδαρον ἅδε κόνις·
οὐ μέλος εἰσαΐων φθέγξαιό κεν, ὥς ποτε Μουσῶν
ἐν Κάδμου θαλάμοις σμῆνος ἀνεπλάσατο.

90. 44. Σιμωνίδου

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

Β΄. Ἀναθηματικά, ἐπιδεικτικά, σκωπτικά, παίγνια :

91. 45. Ἀδέσποτον

Μνῆμα τόδ'(ε) ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

92. 46. Σιμωνίδου

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ' Ἀθηναίων στήσατο Μιλτιάδης.

93. 47. »

Ἑλλάνων ἀρχαγός, ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας, Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.

94. 48. »

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαΐ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

95. 49. Μνασάλκου

Σοὶ μὲν καμπύλα τόξα καὶ ἰοχέαιρα φαρέτρη,
δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται·
ἰοὺς δὲ πτερόεντας ἀνὰ κλόνον ἄνδρες ἔχουσιν
ἐν κραδίαις ὀλοὰ ξείνια δυσμενέων.

96. 50. Σιμωνίδου

Οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν
ἧσο, Πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·
ἤδη γὰρ χαλκός τε γέρων αὐτά τε τέτρυσαι
πυκνὰ κραδαινομένα δηίῳ ἐν πολέμῳ.

97. 51. Ἀνύτης

Ἔσταθι τᾷδε, κράνεια βροτοκτόνε, μηδ' ἔτι λυγρὸν
χάλκεον ἀμφ' ὄνυχα στάζε φόνον δαΐων·
ἀλλ' ἀνὰ μαρμάρεον δόμον ἡμένα αἰπὺν Ἀθάνας
ἄγγελλ' ἀνορέαν Κρητὸς Ἐχεκρατίδα.

98. 52. Ἴωνος

Ἐν τῷ Μουσείῳ τῶν Δελφῶν:

Εἰκόν'(α) ἑὰν ἀνέθηκεν ἐπ' ἔργῳ τῷδ'(ε), ὅτε νικῶν
ναυσὶ θοαῖς πέρσεν Κεκροπιδᾶν δύναμιν
Λύσανδρος Λακεδαίμον'(α) ἀπόρθητον στεφανώσας,
Ἑλλάδος ἀκρόπολιν καλλίχορον πατρίδα.

99. 53. Σιμωνίδου

Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

100. 54. Ἐρατοσθένους σχολαστικοῦ

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο, Βάκχε·
δέχνυσο δ' εὐμενέως· ἄλλο γὰρ οὐδὲν ἔχει.

101. 55. Σιμωνίδου

Σῶσος καὶ Σωσώ, Σῶτερ, σοὶ τόνδ' ἀνέθηκαν,
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

102. 56. Πλάτωνος

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐραστῶν
ἑσμὸν ἐπὶ προθύροις Λαΐς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον, ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω, οἵη δ' ἦν πάρος οὐ δύναμαι.

103. 57. Ἀδέσποτον

Μαινάλιος Ξενοκλῆς νίκασ'(α) Εὐθύφρονος υἱός,
ἀπτὴς μουνοπαλᾶν τέσσαρα σώμαθ' ἑλών.

104. 58. »

Πύκτας τόνδ' ἀνέθηκεν ἀπ' εὐδόξοιο Κυνίσκος
Μαντινέας νικῶν, πατρὸς ἔχων ὄνομα.

105. 59. Σιμωνίδου

Εἶπον, τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νικᾷς;
Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, Ῥόδιος.

106. 60. Καλλιμάχου

Φησὶν ὅ με στήσας Εὐαίνετος (οὐ γὰρ ἔγωγε
γιγνώσκω) νίκης ἀντί με τῆς ἰδίης

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγκεῖσθαι χάλκειον ἀλέκτορα Τυνδαρίδησιν·
πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.

107. 61. Ἀδέσποτον

Ἐν τῷ Μουσείῳ Σπάρτης:

Ὀρθείῃ δῶρον Λεοντεὺς ἀνέθηκε βοαγὸς Β, Ψ ∩
μῶαν νικήσας καὶ τάδ' ἔπαθλα λαβών· Β, Ψ ∩
καί μ' ἔστεψε πατὴρ εἰσαρίθμοις ἔπεσιν. Β, Ψ ∩

108. 62. Ἀρχελάου ἢ Ἀσκληπιάδου

Αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος ἐς Δία λεύσσων·
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι· Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε'.

109. 63. Ἀδέσποτον

Τιμαρέτεια πρὸ γάμοιο τὰ τύμπανα τάν τ' ἐρατεινὰν
σφαῖραν τόν τε κόμας ῥύτορα κεκρύφαλον
τάς τε κόρας, Λιμνᾶτι, κόρα κόρᾳ, ὡς ἐπιεικές,
ἄνθετο καὶ τὰ κορᾶν ἐνδύματ' Ἀρτέμιδι.
Λατῷα, τὺ δὲ παιδὸς ὑπὲρ χέρα Τιμαρετείας
θηκαμένα σώζοις τὰν ὁσίαν ὁσίως.

110. 64. Ἠρίννης

Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα λῷστε Προμαθεῦ,
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν.
ταύταν γῶν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
αἰ καὐδὰν ποτέθηκ', ἧς κ' Ἀγαθαρχὶς ὅλα.

111. 65. Νοσσίδος

Αὐτομέλιννα τέτυκται· ἴδ' ὡς ἀγανὸν τὸ πρόσωπον
ἁμὲ ποτοπτάζειν μειλιχίως δοκέει!
ὡς ἐτύμως θυγάτηρ τᾷ ματέρι πάντα ποτῴκει!
ἦ καλόν, ὄκκα πέλῃ τέκνα γονεῦσιν ἴσα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

112. 66. »

Γνωτὰ καὶ τηνῶθε Σαβαιθίδος εἴδεται ἔμμεν
ἄδ' εἰκών, μορφᾷ καὶ μεγαλειοσύνᾳ·
θάεο! τὰν πινυτὰν τό τε μείλιχον αὐτόθι τήνας
ἔλπομ' ὁρῆν· χαίροις πολλά, μάκαιρα γύναι.

113. 67. Νοσσίδος

Θαυμαρέτας μορφὰν ὁ πίναξ ἔχει· εὖ γε τὸ γαῦρον
τεῦξε τό θ' ὡραῖον τᾶς ἀγανοβλεφάρου.
σαίνοι κέν σ' ἐσιδοῦσα καὶ οἰκοφύλαξ σκυλάκαινα,
δέσποιναν μελάθρων οἰομένη καθορῆν.

114. 68. »

Τὸν πίνακα ξανθᾶς Καλλὼ δόμον εἰς Ἀφροδίτας
εἰκόνα γραψαμένα πάντ' ἀνέθηκεν ἴσαν.
ὡς ἀγανῶς ἕστακεν! ἴδ' ἁ χάρις ἁλίκον ἀνθεῖ!
χαιρέτω· οὔ τινα γὰρ μέμψιν ἔχει βιοτᾶς.

115. 69. Φιλίππου

Ἦ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

116. 70. Ἀδέσποτον

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα·
‚Φεῦ! φεῦ! ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;‘

117. 71. »

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
ζωὴν Πραξιτέλης ἔμπαλιν ἠργάσατο.

118. 72.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

119. 43.

Ἴσχετε τὴν Βάκχην, μὴ λαϊνέῃ περ ἐοῦσα
οὐδὸν ὑπερθεμένη νηὸν ὑπεκπροφύγῃ.

120. 74. Ἀδέσποτον

Ἢ Σάτυρος τὸν χαλκὸν ὑπέδραμεν ἢ διὰ τέχνης
χαλκὸς ἀναγκασθεὶς ἀμφεχύθη Σατύρῳ.

121. 75. Πλάτωνος

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
ἢν νύξῃς, ἐγερεῖς ὀργίλον· ὕπνος ἔχει.

122. 76. Δημητρίου Βιθυνοῦ

Ὧδε Μύρων μ' ἔστησε τὸ βοίδιον· οἱ δὲ νομῆες
βάλλουσίν με λίθοις ὡς ἀπολειπόμενον.

123. 77. Ἀνακρέοντος

Βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

124. 78. Ἀντιπάτρου Σιδωνίου

Μόσχε, τί μοι λαγόνεσσι προσέρχεαι; τίπτε δὲ μυκᾷς;
ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

125. 79. Διοσκορίδου

Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους,
ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
δεικνὺς ἀντία πάντα· τὸν αἱματόεντα δ' ὁ πρέσβυς
παῖδ' ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τιθείς·
,Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δὲ σέ, τέκνον, ἄδακρυς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θάψω τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.'

126. 80. Ἐρυκίου Κυζικηνοῦ

'Ἀνίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ,
πάντα τὸν ὁπλιστὰν κόσμον ὀλωλεκότα,
αὐτά τοι φονίαν, Δαμάτριε, αὐτίκα λόγχαν
εἶπε διὰ πλατέων ὠσαμένα λαγόνων·
, Κάτθανε, μηδ' ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα 5
ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.'

127. 81. Ζηνοδότου

Τίς γλύψας τὸν Ἔρωτα παρὰ κρήνῃσιν ἔθηκεν,
οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι;

128. 82. Ἀδέσποτον

Αἱ Χάριτες λούσαντο· ἀμειψάμεναι δὲ λοετρὸν
δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

129. 83. Ἀνύτης

Ἵζευ ἅπας ὑπὸ καλὰ δάφνας εὐθαλέα φύλλα
ὡραίου τ' ἄρυσαι νάματος ἁδὺ πόμα,
ὄφρα τοι ἀσθμαίνοντα πόνοις θέρεος φίλα γυῖα
ἀμπαύσῃς πνοιᾷ τυπτόμενα Ζεφύρου.

130 84. »

Ξεῖν', ὑπὸ τὰν πτελέαν τετρυμένα γυῖ' ἀνάπαυσον·
ἃ δέ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις·
πίδακά τ' ἐκ παγᾶς ψυχρὸν πίε· δὴ γὰρ ὁδίταις
ἄμπαυμ' ἐν θερμῷ καύματι τοῦτο φίλον.

131. 85. Ἀδέσποτον

Ἐλπὶς καὶ Τύχη, μέγα χαίρετε· τὸν λιμέν' εὗρον·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδὲν ἐμοὶ χὐμῖν· παίζετε τοὺς μετ' ἐμέ.

132. 86. Πλάτωνος

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως!
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

133. 87. Ἀδέσποτον

Λέσβιον Ἠρίννης τόδε κηρίον· εἰ δέ τι μικρόν,
ἀλλ' ὅλον ἐκ Μουσέων κιρνάμενον μέλιτι·
οἱ δὲ τριηκόσιοι ταύτης στίχοι ἶσοι Ὁμήρῳ,
τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς·
ἣ καὶ ἐπ' ἠλακάτῃ μητρὸς φόβῳ, ἣ καὶ ἐφ' ἱστῷ
ἑστήκει Μουσέων λάτρις ἐφαπτομένη.
Σαπφὼ δ' Ἠρίννης ὅσσον μελέεσσιν ἀμείνων,
Ἤριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.

134. 88. »

Γῇ μὲν ἔαρ κόσμος πολυδένδρεον, αἰθέρι δ' ἄστρα·
Ἑλλάδι δ' ἥδε χθών, οἵδε δὲ τῇ πόλεϊ.

135. 89. Πλάτωνος

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

136. 90. Παλλαδᾶ Ἀλεξανδρέως

Ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας.
εἴθε δὲ μήτε γυνὴ μήτε τὸ πῦρ ἐφάνη!
πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται· ἡ δὲ γυνὴ πῦρ
ἄσβεστον, φλογερόν, πάντοτ' ἀναπτόμενον.

137. 91. Ἀδέσποτον

Στήλην μητρυιῆς, μικρὰν λίθον, ἔστεφε κοῦρος,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὡς βίον ἠλλάχθαι καὶ τρόπον οἰόμενος·
ἡ δὲ τάφῳ κλινθεῖσα κατέκτανε παῖδα πεσοῦσα.
φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι!

138. 92. Ἀδέσποτον

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτέ, νῦν δὲ Μενίππου
καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται· εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ τύχης.

139. 93. »

Τίπτε με τὴν ἀνέμοισιν ἁλώσιμον, ἠλεὲ τέκτον,
τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον
οὐδ' οἰωνὸν ἔδεισας; ὅ τοι Βορέης μ' ἐδίωξεν
ἐν χθονί, πῶς ἀνέμους φεύξομαι ἐν πελάγει;

140. 94. Ζηλωτοῦ, οἱ δὲ Βάσσου

Ἐκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς· ἐς τί με πόντῳ
στέλλετε ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

141. 95. Ἀδέσποτον

Ἐρώτησις Ὁμήρου:
Ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχομέν τι;
Ἀπόκρισις Ἀρκάδων:
Ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσσ' οὐχ ἕλομεν φερόμεσθα.

142. 96. Εὐήνου Ἀσκαλωνίτου

Κῆν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ.

143. 97. Παρμενίωνος

Οἱ κόρις ἄχρι κόρου κορέσαντό μου· ἀλλ' ἐκορέσθην

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄχρι κόρου καὐτὸς τοὺς κόρις ἐκκορίσας.

144. 98. Παλλαδᾶ

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ' ἀγανακτεῖς
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

145. 99. Δημοδόκου

Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

146. 100. Καλλιμάχου

Σύντομος ἦν ὁ ξεῖνος, ὃ καὶ στίχος οὐ μακρὰ λέξων
,Θῆρις Ἀρισταίου Κρὴς' ἐπ' ἐμοὶ δολιχός.

147. 101. Λεωνίδου Ἀλεξανδρέως

Οἰδιπόδης κάσις ἦν τεκέων καὶ μητέρι πόσσις
γίγνετο καὶ παλάμης ἦν τυφλὸς ἐκ σφετέρης.

148. 102. Νικοδήμου Ἡρακλεώτου

Πραξιτέλης ἔπλασεν Δανάην καὶ φάρεα Νυμφῶν
λύγδινα καὶ πέτρης Πᾶν' ἐμὲ Πεντελικῆς.

149. 103. »

Εἰμὶ πατρὸς λευκοῖο μέλαν τέκος, ἄπτερος ὄρνις,
ἄχρι καὶ οὐρανίων ἱπτάμενος νεφέων·
κούραις δ' ἀντομένησιν ἀπενθέα δάκρυα τίκτω·
εὐθὺ δὲ γεννηθεὶς λύομαι εἰς ἀέρα.

150. 104. »

Ἄνδρ' ἐμὸν ἔκταν' ἐκυρός, ἐκυρὸν δ' ἔκτανεν ἀνὴρ
καὶ δαὴρ ἐκυρὸν καὶ ἐκυρὸς γενέτην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

II. ΙΑΜΒΟΣ

Ἀρχίλοχος

[Α΄. Ἐλεγεῖαι:

151. 1.

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

152. 2.

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος.

153. 3.

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων·
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος· ἀσπὶς ἐκείνη
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

154. 4.

Ἀλλ' ἄγε, σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.]

Β΄. Ἴαμβοι:

155. 5.

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἷλέ κώ με ζῆλος, οὐδ' ἀγαίομαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν..

156. 6.

Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς παρήειρε φρένας,
ᾗς τὸ πρὶν ἠρήρεισθα; νῦν δὲ δὴ πολὺς
ἀστοῖσι φαίνεαι γέλως....
ὅρκον δ' ἐνοσφίσθης μέγαν
ἅλας τε καὶ τράπεζαν....

157. 7.

...κύματι πλαζόμενος,
κἀν Σαλμυδησσῷ γυμνὸν εὐφρονέστατα
Θρῄκες ἀκρόκομοι
λάβοιεν—ἔνθα πόλλ' ἀναπλήσει κακὰ
δούλιον ἄρτον ἔδων—
ῥίγει πεπηγότ' αὐτόν, ἐκ δὲ τοῦ ῥόθου
φυκία πόλλ' ἐπέχοι,
κροτέοι δ' ὀδόντας ὡς κύων ἐπὶ στόμα
κείμενος ἀκρασίῃ
ἄκρον παρὰ ῥηγμῖνα κυμάτων ὁμοῦ.
ταῦτ' ἐθέλοιμ' ἂν ἰδεῖν,
ὅς μ' ἠδικησε, λὰξ δ' ἐφ' ὁρκίοις ἔβη,
τὸ πρὶν ἑταῖρος ἐών.

158. 8.

Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ' ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσ'· ἔπειτα πολλὰ γίγνεται κακὰ....
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

159. 9.

Θυμέ, θύμ', ἀμηχάνοισι κήδεσιν κυκώμενε,
ἄνα δή, εὖ μένων δ' ἀλέξευ προσβαλὼν ἐναντίον
στέρνον, ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατασταθεὶς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μήτε νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο· 5
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

160. 10.

Χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον,
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίης ἔθηκε νύκτ' ἀποκρύψας φάος
ἡλίου λάμποντος· ὠχρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίγνεται 5
ἀνδράσιν· μηδεὶς ἔθ' ὑμέων εἰσορῶν θαυμαζέτω,
μηδ' ὅταν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον καί σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ἦν ὄρος.

161. Σημωνίδης 1.

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων, ὅσ' ἔστι, καὶ τίθησ' ὅκῃ θέλει·
νοῦς δ' οὐκ ἐπ' ἀνθρώποισιν· ἀλλ' ἐπήμεροι
ἃ δὴ βοτὰ ζώουσιν, οὐδὲν εἰδότες,
ὅκως ἕκαστον ἐκτελευτήσει θεός. | 5
ἐλπὶς δὲ πάντας κἀπιπειθείη τρέφει
ἄπρηκτον ὁρμαίνοντας· οἳ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἳ δ' ἐτέων περιτροπάς·
νέωτα δ' οὐδεὶς ὅστις οὐ δοκεῖ βροτῶν
πλούτῳ τε κἀγαθοῖσιν ἵξεσθαι φλύων. | 10

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβόν,
πρὶν τέρμ' ἵκηται· τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι θνητῶν· τοὺς δ' Ἄρει δεδμημένους
πέμπει μελαίνης Ἀίδης ὑπὸ χθονός·
οἳ δ' ἐν θαλάσσῃ λαίλαπι κλονεύμενοι
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς
θνήσκουσιν, εὖτ' ἂν ἡδὺ νώσωνται ζόειν·
οἳ δ' ἀγχόνην ἅψαντο δυστήνῳ μόρῳ
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ' οὐδέν· ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι
καὶ πήματ' ἐστίν· | εἰ δ' ἐμοὶ πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῷμεν οὐδ' ἐπ' ἄλγεσιν
κακοῖσ' ἔχοντες θυμὸν αἰκιζοίμεθα.

162. 2.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα· τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοις τ' ἐν εἵμασιν
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται. |
τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἴδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδέν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις κακόν,
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει. |
τὴν δ' ἐκ κυνὸς λίταργον, αὐτομήτορα,
ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἤν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ. |
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνήρ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδ᾽ εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ᾽ ἂν μειλίχως μυθεύμενος,
οὐδ᾽ εἰ παρὰ ξείνοισιν ἡμένη τύχῃ·
ἀλλ᾽ ἐμπέδως ἄπρηκτον αὐονὴν ἔχει. | 20
τὴν δὲ πλάσαντες γηίνην Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακόν,
οὔτ᾽ ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
κοὐδ᾽ ἢν κακὸν χειμῶνα ποιήσῃ θεός, 25
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός. |
τὴν δ᾽ ἐκ θαλάσσης, ἣ δύ᾽ ἐν φρεσὶν νοεῖ.
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην·
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοισ᾽ ἰδών·
‚Οὐκ ἔστιν ἄλλη τῆσδε λωίων γυνὴ 30
ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων.‘
τὴν δ᾽ οὐκ ἀνεκτὸς οὔτ᾽ ἐν ὀφθαλμοῖσ᾽ ἰδεῖν,
οὔτ᾽ ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων,
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη 35
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίγνεται·
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἔστηκ᾽, ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη· 40
ταύτῃ μάλιστ᾽ ἔοικε τοιαύτη γυνὴ
[ὀργήν· φυὴν δ᾽ ὡς πόντος αἰόλην ἔχει]. |
τὴν δ᾽ ἐκ σποδείης καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ᾽ ἀνάγκῃ σύν τ᾽ ἐνιπῇσιν μόγις
ἔστερξεν ὧν ἅπαντα κἀπονήσατο 45
ἀρεστά· τόφρα δ᾽ ἐσθίει μὲν ἐν μυχῷ
προνύξ, προῆμαρ, ἐσθίει δ᾽ ἐπ᾽ ἐσχάρῃ. |
τὴν δ᾽ ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κείνῃ γὰρ οὔ τι καλὸν οὐδ᾽ ἐπίμερον
πρόσεστιν οὐδὲ τερπνὸν οὐδ᾽ ἐράσμιον· 50
εὐνῆς δ᾽ ἀληνής ἐστιν ἀφροδισίης,
τὸν δ᾽ ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ.
κλέπτουσα δ᾽ ἔρδει πολλὰ γείτονας κακά,
ἄθυστα δ᾽ ἱρὰ πολλάκις κατεσθίει. |
τὴν δ᾽ ἵππος ἁβρὴ χαιτέεσσ᾽ ἐγείνατο, 57
ἣ δούλι᾽ ἔργα καὶ δύην περιτρέπει·
κοὔτ᾽ ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι, 60
οὔτε πρὸς ἰπνόν, ἀσβόλην ἀλευμένη,
ἵζοιτ᾽· ἀνάγκῃ δ᾽ ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον
δίς, ἄλλοτε τρὶς καὶ μύροισ᾽ ἀλείφεται·
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ 65
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνὴ
ἄλλοισι, τῷ δ᾽ ἔχοντι γίγνεται κακόν,
ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται. | 70
τὴν δ᾽ ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνὴ
εἶσιν δι᾽ ἄστεος πᾶσιν ἀνθρώποις γέλως,
ἐπ᾽ αὐχένα βραχεῖα, κινεῖται μόγις 75
ἄπυγος, αὐτόκωλος. ἆ τάλας ἀνήρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται!
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει·
οὐδ᾽ ἄν τιν᾽ εὖ ἔρξειεν, ἀλλὰ τοῦθ᾽ ὁρᾷ 80
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τιν᾽ ὡς μέγιστον ἔρξειεν κακόν. |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν δ' ἐκ μελίσσης· τήν τις εὐτυχεῖ λαβών·
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει,
θάλλει δ' ἀπ' αὐτῆς κἀπαέξεται βίος· 85
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσι,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος·
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ' ἀμφιδέδρομεν χάρις·
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη. 90

163. Σόλων 1.

Ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξυγήγαγον
δῆμον, τί τούτων πρὶν τυχεῖν ἐπαυσάμην; |
συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε 5
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα. |
πολλοὺς δ' Ἀθήνας, πατρίδ' ἐς θεόκτιτον,
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὑπὸ 10
χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομευμένους,
ἐλευθέρους ἔθηκα. | ταῦτα μὲν κράτει 15
νόμου, βίαν τε καὶ δίκην συναρμόσας,
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. | κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών, 20
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἃ τοῖσ' ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν οὗτεροι φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις. 25
τῶν οὕνεκ' ἀλκὴν πάντοθεν ποιεύμενος
ὡς ἐν κυσὶν πολλῇσιν ἐστράφην λύκος.

164. 2α

,Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἐπέσπασε μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς. |
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν 5
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος'.

164. 2β

,Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.'

IIIα'. ΤΟ ΜΕΛΟΣ

165. Ἀλκαῖος 1.

Μαρμαίρει δὲ μέγας δόμος χάλκῳ· παῖσα δ' Ἄρῃ κεκόσμηται στέγα
λάμπραισιν κυνίαισι, κατ τᾶν λεῦκοι κατύπερθεν ἵππιοι λόφοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νεύοισιν, κεφάλαισιν ἄνδρων ἀγάλματα· χάλκιαι δὲ πασσάλοις
κρύπτοισιν περικείμεναι λάμπραι κνάμιδες, ἄρκος ἰσχύρω βέλευς,
θώρακές τε νέω λίνω κοίιλαί τε κατ' ἄσπιδες βεβλήμεναι· 5
παρ δὲ Χαλκίδικαι σπάθαι, παρ δὲ ζώματα πόλλα καὶ κυπάσσιδες·
τῶν οὐκ ἔστι λάθεσθ', ἐπειδὴ πρώτιστ' ὑπὸ Ϝέργον ἔσταμεν τόδε.

166. 2.

Ἀσυνέτημι τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ὀν τὸ μέσσον
ναῖ φορήμεθα σὺν μελαίνα,
χείμωνι μοχθεῦντες μεγάλῳ μάλα·
περ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πὰν ζάδηλον ἤδη
καὶ λάκιδες μέγαλαι κατ' αὖτο·
χόλαισι δ' ἄγκυλαι.

167. 3.

Νῦν χρὴ μεθύσθην καί τινα πρὸς βίαν
πώνην, ἐπειδὴ κάτθανε Μύρσιλος.

168. 4.

Ὕει μὲν ὁ Ζεύς, ἐκ δ' ὀράνω μέγας
χείμων, πεπάγαισιν δ' ὑδάτων ῥόαι...
κάββαλλε τὸν χείμων', ἐπὶ μὲν τίθεις
πῦρ, ἐν δὲ κέρναις οἶνον ἀφειδέως
μέλιχρον, αὐτὰρ ἀμφὶ κόρσᾳ 5

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάλθακον ἀμφιβάλων γνόφαλλον.

169. 5.

Οὐ χρὴ κάκοισι θῦμον ἐπιτρέπειν·
προκόψομεν γὰρ οὔδεν ἀσάμενοι,
ὦ Βύκχι, φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθύσθην.

170. 6.

Τέγγε πλεύμονα Ϝοίνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἁ δ' ὥρα χαλέπα, πάντα δὲ δίψαισ' ὑπὸ καύματος.
ἄχει δ' ἐκ πετάλων Ϝάδεα τέττιξ, πτερύγων δ' ὕπο
κἀκχέει λιγύραν πύκνον ἀοίδαν, σέλας ὄπποτα
φλόγιον κατὰ γᾶν πεπτάμενον πάντα καταυάνῃ. 5

171. 7.

Πίνωμεν· τί τὰ λύχν' ὀμμένομεν; δάκτυλος ἁμέρα·
καδ δ' ἄερρε κυλίχναις μεγάλαις, ἀίτα, ποικίλαις·
οἶνον γὰρ Σεμέλας καὶ Δίος υἷος λαθικάδεα
ἀνθρώποισιν ἔδωκ'· ἔγχεε κέρναις ἕνα καὶ δύο
πλέαις κακ κεφάλας, ἁ δ' ἑτέρα τὰν ἑτέραν κύλιξ 5
ὠθήτω.

172. 8.

Δεῦτ' Ὄλυμπον ἀστέροπον λίποντες,
παῖδες ἴφθιμοι Δίος ἠδὲ Λήδας,
ἱλλάῳ θύμῳ προφάνητε, Κάστορ
καὶ Πολύδευκες,
οἳ κατ' εὔρειαν χθόνα καὶ θάλασσαν 5
παῖσαν ἔρχεσθ' ὠκυπόδων ἐπ' ἵππων,
ῥῆα δ' ἀνθρώποις θανάτω ῥύεσθε
δακρυόεντος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὐέδρων θρώσκοντες ὀν ἄκρα νάων
τήλοθεν, λάμπροι πρότον' ἀμφίβαντες, 10
ἀργαλέᾳ δ' ἐν νύκτι φάος φέροντες
ναῖ μελαίνᾳ.

173. Σαπφὼ 1.

Ποικιλόθρον', ἀθάνατ' Ἀφρόδιτα,
παῖ Δίος, δολόπλοκε, λίσσομαί σε,
μή μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα,
πότνια, θῦμον· |
ἀλλὰ τυῖδ' ἔλθ', αἴ ποτα κἀτέρωτα 5
τᾶς ἔμας αὔδως ἀίοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες
ἄρμ' ὐπασδεύξαισα· κάλοι δέ σ' ἆγον
ὤκεες στροῦθοι περὶ γᾶς μελαίνας 10
πύκνα δίννεντες πτέρ' ἀπ' ὠράνω αἴθε-
ρος διὰ μέσσω.
αἶψα δ' ἐξίκοντο· | τὺ δ', ὦ μάκαιρα,
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ
ἤρε', ὄττι δηὖτε πέπονθα κὤττι 15
δηὖτε κάλημι,
κὤττι ἔμῳ μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· | ,Τίνα δηὖτε Πείθω
μαῖσ' ἄγην ἐς σὰν φιλότατα, τίς σ', ὦ
Ψάπφ', ἀδικήει ; 20
καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισαν.' |
ἔλθε μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον 25
ἐκ μεριμνᾶν, ὄσσα δέ μοι τέλεσσαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θῦμος ἰμέρρει, τέλεσον· σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

174. 2.

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν ὤνηρ, ὄττις ἐνάντιός τοι
ἰζάνει καὶ πλάσιον ἆδυ φωνεί-
σας ὑπακούει
καὶ γελαίσας ἰμέροεν· | τό μοι μὰν 5
καρδίαν ἐν στήθεσιν ἐπτόασεν·
ὥς σε γὰρ ϝίδω βρόχε', ὥς με φώνας
οὔδεν ἔτ' ἴκει,
ἀλλὰ καμ μὲν γλῶσσα ϝέαγε, λέπτον
δ' αὔτικα χρῶ πῦρ ὑπαδεδρόμακεν, 10
ὀππάτεσσι δ' οὔδεν ὄρημ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι,
ἁ δέ μ' ἴδρως κακχέεται, τρόμος δὲ
παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύης
φαίνομ', 'Αγαλλί...

175. 3.

...τεθνάκην δ' ἀδόλως θέλω.
ἄ με ψισδομένα κατελίμπανεν
πόλλα καὶ τόδ' ἔειπέ μοι·
,Ὤιμ', ὡς δεῖνα πεπόνθαμεν,
Ψάπφ'· ἦ μάν σ' ἀέκοισ' ἀπυλιμπάνω·· | 5
τὰν δ' ἐγὼ τάδ' ἀμειβόμαν·
,Χαίροισ' ἔρχεο κἄμμεθεν
μέμναισ'(ο)· οἶσθα γὰρ ὥς σε πεδήπομεν·
αἰ δὲ μή, ἀλλά σ' ἔγω θέλω
ὄμμναισαι· σὺ δὲ λάθεαι 10

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅσσ' ἄμμες φίλα καὶ κάλ' ἐπάσχομεν· |

πόλλοις γὰρ στεφάνοις ἴων
καὶ βρόδων πλοκίων τ' ὔμοι
καὶ ὀστλίγγων παρ' ἔμοι παρεθήκαο,

καὶ πόλλαις ὑπαθύμιδας 15
πλέκταις ἀμφ' ἀπάλᾳ δέρᾳ
ἀνθέων εἰαρινων πεποημέναις,

καὶ πόλλῳ λιπάρως μύρῳ
βρενθείῳ βασιληίῳ,
ἐξαλείψαο καλλίκομον κάρα...' 20

176. 4.

[-∪-] ἄπυ Σαρδίων
[-∪] πόλλακι τυῖδε νῶν ἔχοισα
ὡς πεδεζώομεν, βεβάως ἔχεν
σὲ θέᾳ ἰκέλαν Ἀρι-
γνώτα, σᾷ δὲ μάλιστ' ἔχαιρε μόλπᾳ. | 5
νῦν δὲ Λύδαισιν ἐμπρέπεται γυναί-
κεσσιν, ὥς ποτ' ἀελίω
δύντος ἁ βροδοδάκτυλος σελάννα
πάντα περρέχοισ' ἄστρα, φάος δ' ἐπί-
σχει θάλασσαν ἐπ' ἀλμύραν 10
ἴσως καὶ πολυανθέμοις ἀρούραις. |
ἁ δ' ἐέρσα κάλα κέχυται, τεθά-
λαισι δὲ βρόδα κἄπαλ' ἄν-
θρυσκα καὶ μελίλωτος ἀνθεμώδης.
πόλλα δὲ ζαφοίταισ' ἀγάνας ἐπι- 15
μνάσθεισ' Ἄτθιδος, ἰμέρῳ
λέπταν ποι φρένα, κῆρ δ' ἄσᾳ βόρηται. |
κῆθι δ' ἔλθην ἄμμ' ὄξυ βοᾷ· τὰ δ' οὐ
νῷν τἄπυστα νὺξ πολύως
γαρύει δι' ἄλος... 20

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

177. 5.

Κατθάνοισα δὲ κείσεαι οὐδέ ποτε μναμοσύνα σέθεν
ἔσσετ' οὐδ' ἔρος εἰς ὕστερον· οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας· ἀλλ' ἀφάνης κὴν 'Αίδα δόμοις
φοιτάσεις πεδ' ἀμαύρων νεκύων ἐκπεποταμένα.

178. 6.

Οἷον τὸ γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὔσδῳ,
ἄκρον ἐπ' ἀκροτάτῳ, λελάθοντο δὲ μαλοδρόπηες,
οὐ μὰν ἐκλελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐπίκεσθαι.

179. 9.

Ὕψοι δὴ τὸ μέλαθρον
—'Υμήναον—
ἀέρρετε, τέκτονες ἄνδρες,
—'Υμήναον—
γάμβρος ἐσέρχεται ἴσος Ἄρευι
ἄνδρος μεγάλω πόλυ μείζων.

180. 'Ανακρέων 1.

Σφαίρῃ δηῦτέ με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικιλοσαμβάλῳ
συμπαίζειν προκαλεῖται·
ἣ δ', ἔστιν γὰρ ἀπ' εὐκτίτου 5
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλην τινὰ χάσκει.

181. 2.

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φέρε δ'ἀνθεμοῦντας ἡμὶν
στεφάνους, ἔνεικον, ὡς δὴ
πρὸς Ἔρωτα πυκταλίζω.

182. 3.

Ἄγε δὴ φέρ' ἡμίν, ὦ παῖ,
κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὡς ἀνυβρίστως
ἀνὰ δηῦτε βασσαρήσω...
ἄγε δηῦτε μηκέθ' οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

183. 4.

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέθ' ἥβη πάρα, γηραλέοι δ' ὀδόντες.
γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται.
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς·
Ἀίδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτὸν
κάθοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΙΙΙβ΄. ΧΟΡΙΚΗ ΛΥΡΙΚΗ

184. Τέρπανδρος 1.

Ζεῦ, πάντων ἀρχά, πάντων ἁγήτωρ,
Ζεῦ, σοὶ πέμπω ταύταν ὕμνων ἀρχάν.

185. 2.

Ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μῶσα λίγεια
καὶ δίκα εὐρυάγυια, καλῶν ἐπιτάρροθος ἔργων.

186. 3.

Σοὶ δ' ἡμεῖς τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

187. Ἀλκμὰν 1.

Εὕδουσιν δ' ὀρέων κορυφαί τε καὶ φάραγγες,
πρώονές τε καὶ χαράδραι,
φῦλά θ' ἑρπετὰ τόσσα τρέφει μέλαινα γαῖα,
θῆρές τ' ὀρεσκῷοι καὶ γένος μελισσᾶν
καὶ κνώδαλ' ἐν βένθεσσι πορφυρέας ἁλός· 5
εὕδουσιν δ' οἰωνῶν
φῦλα τανυπτερύγων.

188. 2.

Ἤνθομεν ἐς μεγάλας Δαμάτερος ἐννέ' ἐάσσαι
παίσαι παρθενικαί, παίσαι καλὰ ἔμματ' ἐχοίσαι,
καλὰ μὲν ἔμματ' ἐχοίσαι, ἀριπρεπέας δὲ καὶ ὅρμως
πριστῶ ἐξ ἐλέφαντος ἰδῆν ποτεοικότας αἴγλᾳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

189. 3.

Οὔ μ' ἔτι, παρθενικαὶ μελιγάρυες ἱμερόφωνοι,
γυῖα φέρην δύναται· βάλε δὴ βάλε κηρύλος εἴην,
ὅστ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτῆται
νηδεὲς ἦτορ ἔχων, ἁλιπόρφυρος εἴαρος ὄρνις.

190. Στησίχορος 1.

Ἀέλιος δ' Ὑπεριονίδας δέπας ἐσκατέβαινεν
χρύσεον, ὄφρα δι' Ὠκεανοῖο περάσας
ἀφίκοιθ' ἱερᾶς ποτὶ βένθεα νυκτὸς ἐρεμνᾶς
ποτὶ ματέρα κουριδίαν τ' ἄλοχον παίδάς τε φίλους· 5
ὁ δ' ἐς ἄλσος ἔβα δάφναισι κατάσκιον
ποσσὶ πάις Διός.

191. 2.

Οὕνεκα Τυνδάρεος
ῥέζων ποτὲ πᾶσι θεοῖς μούνας λάθετ' ἠπιοδώρω
Κύπριδος· κείνα δὲ Τυνδάρεω κόραις
χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησιν
καὶ λιπενσάνορας. 5

192. 3.

Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος
οὐδ' ἔβας ἐν ναυσὶν εὐσέλμοις
οὐδ' ἵκεο Πέργαμα Τροίας.

193. Σιμωνίδης 1.

Τῶν ἐν Θερμοπύλαισι θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ πότμος,
βωμὸς δ' ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ' οἶκτος ἔπαινος·
ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔθ' ὁ πανδαμάντωρ ἀμαυρώσει χρόνος· 5
ἀνδρῶν ἀγαθῶν ὅδε σακὸς οἰκέταν εὐδοξίαν
Ἑλλάδος εἵλετο· μαρτυρεῖ δὲ καὶ Λεωνίδας
ὁ Σπάρτας βασιλεύς, ἀρετᾶς μέγαν λελοιπὼς
κόσμον ἀέναόν τε κλέος.

194. 2.

Ἄνθρωπος ἐὼν μή ποτε φάσῃς ὅ,τι γίνεται αὔριον,
μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται·
ὠκεῖα γὰρ οὐδὲ τανυπτερύγου μυίας
οὕτως ἁ μετάστασις.

195. 3.

Ἀνθρώπων ὀλίγον μὲν κάρτος, ἄπρακτοι δὲ μεληδόνες,
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ·
ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον μέρος οἵ τ' ἀγαθοὶ
ὅστις τε κακός. 5

196. 4.

Οὐδὲ γὰρ οἱ πρότερόν ποτ' ἐπέλοντο,
θεῶν δ' ἔξ ἀνάκτων ἐγένονθ' υἷες ἡμίθεοι,
ἄπονον οὐδ' ἄφθιτον οὐδ' ἀκίνδυνον βίον
ἐς γῆρας ἐξίκοντο τελέσσαντες.

197. 5.

...ὅτε λάρνακι δαιδαλέᾳ ἄνεμος τέτμε πνέων
κινηθεῖσά τε λίμνα
δείματί τ' ἤριπεν οὐκ ἀδιάντοισιν παρειαῖς
ἀντ. ἀμφί τε Περσέι βάλλε φίλαν χέρ' εἶπέν τ', Ὦ τέκος,
οἷον ἔχω πόνον! σὺ δ' ἀωτεῖς· 5
γαλαθηνῷ δ' ἤθεϊ κνώσσεις ἐν ἀτερπεῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δούρατι χαλκεογόμφῳ,
νυκτὶ ἀλαμπεῖ κυανέῳ τε δνόφῳ ταθείς·
ἅλμαν δ' ὕπερθεν τεᾶν κομᾶν βαθεῖαν
παριόντος κύματος οὐκ ἀλέγεις, οὐδ' ἀνέμων 10
φθόγγον, πορφυρέαισιν
κείμενος ἐν χλανίσιν, προσέχων καλὸν πρόσωπον.
ἐπ. εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων λεπτὸν ὑπεῖχες οὖας.
κέλομ' εὖδε, βρέφος, εὐδέτω δὲ πόντος, 15
εὐδέτω δ' ἄμετρον κακόν.
μεταιβολία δέ τις φανείη, Ζεῦ πάτερ, ἐκ σέο.
ὅτι δὴ θαρσαλέον ἔπος
εὔχομαι καὶ νόσφι δίκας, σύγγνωθί μοι'.

198. 6.

Ἔστι τις λόγος
τὰν Ἀρετὰν ναίειν δυσαμβάτοις ἐπὶ πέτραις·
ἁγνὰν δέ μιν θεὰν χῶρον ἁγνὸν ἀμφέπειν.
οὐδὲ πάντων βλεφάροις θνατῶν ἔσοπτος,
ᾧ μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν μόλῃ 5
ἵκῃ τ' ἐς ἄκρον ἀνδρείας.

199. 7.

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεόβουλον
ἀενάοις ποταμοῖσιν ἄνθεσί τ' εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναισ' ἀντία θέντα μένος στάλας;
ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ 5
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε βουλά.

200. Βακχυλίδης

1. Παιάν.

Τίκτει δέ τε θνατοῖσιν εἰρήνα μεγάλα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλοῦτον καὶ μελιγλώσσων ἀοιδᾶν ἄνθεα,
δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν
ξανθᾷ φλογὶ μῆρα τανυτρίχων τε μήλων,
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν. 5
ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν
ἀραχνᾶν ἱστοὶ πέλονται·
ἔγχεά τε λογχωτὰ ξίφεά τ' ἀμφάκεα δάμναται εὐρώς·
χαλκεᾶν δ' οὐκ ἔστι σαλπίγγων κτύπος·
οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων, 10
ἀῷος ὃς θάλπει κέαρ.
συμποσίων δ' ἐρατῶν
βρίθοντ' ἀγυιαί, παιδικοί θ' ὕμνοι φλέγονται.

201. Ἐπίνικοι:

2. Ἀργείῳ Κείῳ παιδὶ πύκτῃ Ἴσθμια.

Στρ. Ἄιξον, ὦ σεμνοδότειρα Φήμα,
ἐς Κέον ἱεράν, χαριτώ-
νυμον φέρουσ' ἀγγελίαν,
ὅτι μάχας θρασύχειρος Ἀρ-
γεῖος ἄρατο νίκαν· 5
Ἀντ. καλῶν δ' ἀνέμνασεν, ὅσ' ἐν κλεεννῷ
αὐχένι ϝισθμοῦ ζαθέαν
λιπόντες Εὐξαντίδα νᾶ-
σον ἐπεδείξαμεν ἑβδομή-
κοντα σὺν στεφάνοισιν. 10
Ἐπ. καλεῖ δὲ Μοῦσ' αὐθιγενὴς
γλυκεῖαν αὐλῶν καναχάν,
γεραίρουσ' ἐπινικίοις
Πανθείδα φίλον υἱόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

202. 3.

Λάχωνι Κείῳ παιδὶ σταδιεῖ Ὀλύμπια.

Στρ. α΄ Λάχων Διὸς μεγίστου
λάχε φέρτατον πόδεσσι
κῦδος ἐπ᾽ Ἀλφεοῦ προχοαῖς <κάλ᾽ αὔξων,>
δι᾽ ὅσσα πάροιθεν
ἀμπελοτρόφον Κέον 5
ἄεισάν ποτ᾽ Ὀλυμπίᾳ
πύξ τε καὶ στάδιον κρατεῦ-
σαν στεφάνοις ἐθείρας
Στρ. β΄ νεανίαι βρύοντες.
σὲ δὲ νῦν ἀναξιμόλπου 10
Οὐρανίας ὕμνος ἕκατι νίκας,
Ἀριστομένειον
ὦ ποδάνεμον τέκος,
γεραίρει προδόμοις ἀοι-
δαῖς, ὅτι στάδιον κρατή- 15
σας Κέον εὐκλείξας.

203. 4.

Ἱέρωνι κέλητι Ὀλύμπια.

Στρ. α΄ Εὔμοιρε Συρακοσίων
ἱπποδινήτων στραταγέ,
γνώσῃ μὲν ἰοστεφάνων
Μοισᾶν γλυκύδωρον ἄγαλμα, τῶν γε νῦν
αἴ τις ἐπιχθονίων, 5
ὀρθῶς· φρένα δ᾽ εὐθύδικον
ἀτρέμ᾽ ἀμπαύσας μεριμνᾶν
δεῦρ᾽ ἄθρησον νόῳ,
ἣ σὺν Χαρίτεσσι βαθυζώνοις ὑφάνας
ὕμνον ἀπὸ ζαθέας 10

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νάσου ξένος ὑμετέραν πέμ-
πει κλεεννὰν ἐς πόλιν,
χρυσάμπυκος Οὐρανίας κλει-
νὸς θεράπων· ἐθέλει δὲ γᾶ-
ρυν ἐκ στηθέων χέων 15

Ἀντ. α΄ αἰνεῖν Ἱέρωνα. | βαθὺν
δ᾽αἰθέρα ξουθαῖσι τάμνων
ὑψοῦ πτερύγεσσι ταχεί-
αις αἰετὸς εὐρυάνακτος ἄγγελος
Ζηνὸς ἐρισφαράγου 15
θαρσεῖ κρατερᾷ πίσυνος
ἰσχύι, πτάσσοντι δ᾽ ὄρνι-
χες λιγύφθογγοι φόβῳ·
οὔ νιν κορυφαὶ μεγάλας ἴσχουσι γαίας
οὐδ᾽ ἁλὸς ἀκαμάτας 25
δυσπαίπαλα κύματα· νωμᾶ-
ται δ᾽ ἐν ἀτρύτῳ χάει
λεπτότριχα σὺν ζεφύρου πνοι-
αῖσιν ἔθειραν ἀρίγνω-
τος μετ᾽ ἀνθρώποις ἰδεῖν. 30

Ἐπ. α΄ τῶς νῦν καὶ ἐμοὶ μυρία πάντᾳ κέλευθος
ὑμετέραν ἀρετὰν
ὑμνεῖν, κυανοπλοκάμου θ᾽ ἕκατι Νίκας,
χαλκοστέρνου τ᾽ Ἄρηος,
Δεινομένευς ἀγέρω- 35
χοι παῖδες· εὖ ἔρδων δὲ μὴ κάμοι θεός. |
ξανθότριχα μὲν Φερένικον
Ἀλφεὸν παρ᾽ εὐρυδίναν
πῶλον ἀελλοδρόμαν
εἶδε νικάσαντα χρυσόπαχυς Ἀώς, 40

Στρ. β΄ Πυθῶνί τ᾽ ἐν ἀγαθέᾳ.
γᾷ δ᾽ἐπισκήπτων πιφαύσκω·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔπω νιν ὑπὸ προτέρων
ἵππων ἐν ἀγῶνι κατέχρανεν κόνις
πρὸς τέλος ὀρνύμενον· 45
ῥιπᾷ γὰρ ἴσος βορέα
ὃν κυβερνήταν φυλάσσων
ἵεται νεόκροτον
νίκαν Ἱέρωνι φιλοξείνῳ τιτύσκων. |
ὄλβιος ᾧ τινι θεὸς 50
μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζήλῳ τύχᾳ
ἀφνεὸν βιοτὰν διάγειν· οὐ
γάρ τις ἐπιχθονίων
πάντα γ' εὐδαίμων ἔφυ. | 55

Ἀντ. β'. καὶ μάν ποτ' ἐρειψιπύλαν
παῖδ' ἀνίκατον λέγουσιν
δῦναι Διὸς ἀργικεραύ-
νου δώματα Φερσεφόνας τανυσφύρου,
καρχαρόδοντα κύν' ἄ- 60
ξοντ' ἐς φάος ἐξ Ἀίδα,
υἱὸν ἀπλάτοι' Ἐχίδνας. |
ἔνθα δυστάνων βροτῶν
ψυχὰς ἐδάη παρὰ Κωκυτοῦ ῥεέθροις,
οἷά τε φύλλ' ἄνεμος 65
Ἴδας ἀνὰ μηλοβότους
πρῶνας ἀργηστὰς δονεῖ. |
ταῖσιν δὲ μετέπρεπεν εἴδω-
λον θρασυμέμνονος ἐγ-
χεσπάλου Πορθανίδα. | 70

Ἐπ. β'. τὸν δ' ὡς ἴδεν Ἀλκμήνιος θαυμαστὸς ἥρως
τεύχεσι λαμπόμενον,
νευρὰν ἐπέβασε λιγυκλαγῆ κορώνας,
χαλκεόκρανον δ' ἔπειτ' ἐξ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἵλετο ϝιὸν ἀνα- 75
πτύξας φαρέτρας πῶμα· | τῷ δ' ἐναντία
ψυχὰ προφάνη Μελεάγρου
καί νιν εὖ εἰδὼς προσεῖπεν·
,Υἱὲ Διὸς μεγάλου,
στᾶθί τ' ἐν χώρᾳ, γελανώσας τε θυμὸν 80
μὴ ταῦσιον προΐει
τραχὺν ἐκ χειρῶν ὀιστὸν
ψυχαῖσιν ἔπι φθιμένων·
οὔ τοι δέος.' | ὣς φάτο· θάμβησεν δ' ἄναξ
Ἀμφιτρυωνιάδας, 85
εἶπέν τε· ,Τίς ἀθανάτων
ἢ βροτῶν τοιοῦτον ἔρνος
θρέψεν ἐν ποίᾳ χθονί;
τίς δ' ἔκτανεν; | ἦ τάχα καλλίζωνος Ἥρα
κεῖνον ἐφ' ἁμετέρᾳ 90
πέμψει κεφαλᾷ· τὰ δέ που
Παλλάδι ξανθᾷ μέλει.' |
τὸν δὲ προσέφη Μελέαγρος
δακρυόεις· ,Χαλεπὸν
θεῶν παρατρέψαι νόον 95
Ἀντ. γ'. ἄνδρεσσιν ἐπιχθονίοις. |
καὶ γὰρ ἂν πλάξιππος Οἰνεὺς
παῦσεν καλυκοστεφάνου
σεμνᾶς χόλον Ἀρτέμιδος λευκωλένου
λισσόμενος πολέων 100
τ' αἰγῶν θυσίαισι πατὴρ
καὶ βοῶν φοινικονώτων· |
ἀλλ' ἀνίκατον θεὰ
ἔσχεν χόλον· εὐρυβίαν δ' ἔσσευε κούρα
κάπρον ἀναιδομάχαν 105
ἐς καλλίχορον Καλυδῶ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ν', ἔνθα πλημύρων σθένει
ὄρχους ἐπέκειρεν ὀδόντι,
σφάζε τε μῆλα βροτῶν
θ' ὅστις εἰσάνταν μόλοι. | 110

Ἐπ. γ'. τῷ δὲ στυγερὰν δῆριν Ἑλλάνων ἄριστοι
στασάμεθ' ἐνδυκέως
ἔξ ἄματα συνεχέως· ἐπεὶ δὲ δαίμων
κάρτος Αἰτωλοῖσιν ὄρεξεν,
θάπτομεν οὓς κατέπε- 115
φνεν σῦς ἐριβρύχας ἐπαΐσσων βίᾳ,
Ἀγκαῖον ἐμῶν τ' Ἀγέλαον
φέρτατον κεδνῶν ἀδελφεῶν,
οὓς τέκεν ἐν μεγάροις
πατρὸς Ἀλθαία περικλειτοῖσιν Οἰνέος· | 120

Στρ. δ'. πρὸς δ' ὤλεσε μοῖρ' ὀλοὰ
πλεῦνας· οὐ γάρ πω δαΐφρων
παῦσεν χόλον ἀγροτέρα
Λατοῦς θυγάτηρ· περὶ δ' αἴθωνος δορᾶς
μαρνάμεθ' ἐνδυκέως 125
Κουρῆσι μενεπτολέμοις· |
ἔνθ' ἐγὼ πολλοῖς σὺν ἄλλοις
Ἴφικλον κατέκτανον
ἐσθλόν τ' Ἀφάρητα, θοοὺς μάτρωας· οὐ γὰρ
καρτερόθυμος Ἄρης 130
κρίνει φίλον ἐν πολέμῳ·
τυφλὰ δ' ἐκ χειρῶν βέλη
ψυχαῖς ἔπι δυσμενέων φοι-
τᾷ θάνατόν τε φέρει,
τοῖσιν ἂν δαίμων θέλῃ. | 135

Ἀντ. δ'. ταῦτ' οὐκ ἐπιλεξαμένα
Θεστίου κούρα δαΐφρων
μάτηρ κακόποτμος ἐμοὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βούλευσεν ὄλεθρον ἀτάρβακτος γυνά·
καῖέ τε δαιδαλέας 140
ἐκ λάρνακος ὠκύμορον
φιτρὸν ἀγκλαύσασα, τὸν δὴ
μοῖρ' ἐπέκλωσεν τότε
ζωᾶς ὅρον ἁμετέρας ἔμμεν. | τύχον μὲν
Δαϊπύλου Κλύμενον 145
παῖδ' ἄλκιμον ἐξεναρί-
ζων ἀμώμητον δέμας,
πύργων προπάροιθε κιχήσας·
τοὶ δὲ πρὸς εὐκτιμέναν
φεῦγον ἀρχαίαν πόλιν 150
Ἐπ. δ'. Πλευρῶνα· μίνυνθα δέ μοι ψυχὰ γλυκεῖα·
γνῶν δ ὀλιγοσθενέων,
αἰαῖ· πύματον δὲ πνέων δάκρυσα τλάμων,
ἀγλαὰν ἥβαν προλείπων.' |
φασὶν ἀδεισιβόαν 155
Ἀμφιτρύωνος παῖδα μοῦνον δὴ τότε
τέγξαι βλέφαρον, ταλαπενθέος
πότμον οἰκτίροντα φωτός·
καί νιν ἀμειβόμενος
τάδ' ἔφα· | ,Θνατοῖσι μὴ φῦναι φέριστον 160
Στρ. ε'. μηδ' ἀελίου προσιδεῖν
φέγγος· | ἀλλ' οὐ γάρ τίς ἐστιν
πρᾶξις τάδε μυρομένοις,
χρὴ κεῖνο λέγειν ὅ,τι καὶ μέλλει τελεῖν.
ἦ ῥά τις ἐν μεγάροις 165
Οἰνῆος ἀρηιφίλου
ἔστιν ἀδμήτα θυγάτρων,
σοὶ φυὰν ἀλιγκία ;
τάν κεν λιπαρὰν ἐθέλων θείμαν ἄκοιτιν.' |
τὸν δὲ μενεπτολέμου 170

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ψυχὰ προσέφα Μελεά-
γρου· ,Λίπον χλωραύχενα
ἐν δώμασι Δαϊάνειραν,
νῆιν ἔτι χρυσέας
Κύπριδος θελξιμβρότου.' | 175

Ἀντ. ε΄. λευκώλενε Καλλιόπα,
στᾶσον εὐποίητον ἅρμα
αὐτοῦ· Δία τε Κρονίδαν
ὕμνησον Ὀλύμπιον ἀρχαγὸν θεῶν,
τόν τ' ἀκαμαντορόαν 180
Ἀλφεόν, Πέλοπός τε βίαν,
καὶ Πίσαν, ἔνθ' ὁ κλεεννὸς
ποσσὶ νικάσας δρόμῳ
ἦλθεν Φερένικος ἐς εὐπύργους Συρακόσ-
σας Ἱέρωνι φέρων 185
εὐδαιμονίας πέταλον. |
χρὴ δ' ἀλαθείας χάριν
αἰνεῖν, φθόνον ἀμφοτέραισιν
χερσὶν ἀπωσάμενον,
εἴ τις εὖ πράσσοι βροτῶν. | 190

Ἐπ. ε΄. Βοιωτὸς ἀνὴρ τάδε φώνησεν, γλυκειᾶν
Ἡσίοδος πρόπολος
Μουσᾶν, ὃν ἂν ἀθάνατοι τιμῶσι, τούτῳ
καὶ βροτῶν φήμαν ἕπεσθαι. |
πείθομαι εὐμαρέως 195
εὐκλέα κελεύθου γλῶσσαν οὐκ ἐκτὸς δίκας
πέμπειν Ἱέρωνι· τόθεν γὰρ
πυθμένες θάλλουσιν ἐσθλῶν,
τοὺς ὁ μεγιστοπάτωρ
Ζεὺς ἀκινήτους ἐν εἰρήνᾳ φυλάσσοι. 200

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

204. 5. Θηϊεὺς

Στρ.α'. Ἀθ. Βασιλεῦ τᾶν ἱερᾶν Ἀθανᾶν,
τῶν ἁβροβίων ἄναξ Ἰώνων,
τί νέον ἔκλαγε χαλκοκώδων
σάλπιγξ πολεμηίαν ἀοιδάν ;
ἦ τις ἁμετέρας χθονὸς
δυσμενὴς ὅρι' ἀμφιβάλλει
στραταγέτας ἀνήρ ;
ἢ λῃσταὶ κακομάχανοι
ποιμένων ἀέκατι μήλων
σεύοντ' ἀγέλας βίᾳ ;
ἢ τί τοι κραδίαν ἀμύσσει ;
φθέγγευ· δοκέω γὰρ εἴ τινι βροτῶν
ἀλκίμων ἐπικουρίαν
καὶ τὶν ἔμμεναι νέων,
ὦ Πανδίονος υἱὲ καὶ Κρεούσας.
Στρ.β'. Αἰγ. Νέον ἦλθεν δολιχὰν ἀμείψας
κάρυξ ποσὶν Ἰσθμίαν κέλευθον·
ἄφατα δ' ἔργα λέγει κραταιοῦ
φωτός· τὸν ὑπέρβιόν τ' ἔπεφνεν
Σίνιν, ὃς ἰσχύι φέρτατος
θνατῶν ἦν Κρονίδα Λαταίου
σεισίχθονος τέκος·
σῦν τ' ἀνδροκτόνον ἐν νάπαις
Κρεμμυῶνος, ἀτάσθαλόν τε
Σκίρωνα κατέκτανεν,
τάν τε Κερκυόνος παλαίστραν
ἔσχεν, Πολυπήμονός τε καρτερὰν
σφῦραν ἐξέβαλεν Προκό-
πτας, ἀρείονος τυχὼν
φωτός· ταῦτα δέδοιχ' ὅπᾳ τελεῖται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Στρ.γ'. Ἀθ. Τίνα δ' ἔμμεν, πόθεν ἄνδρα τοῦτον
λέγει, τίνα τε στολὰν ἔχοντα ;
πότερα σὺν πολεμηίοις ὅ·
πλοισι στρατιὰν ἄγοντα πολλάν ;
ἢ μοῦνον σὺν ὀπάοσιν 35
στείχειν ἔμπορον οἷ' ἀλάταν
ἐπ' ἀλλοδαμίαν
ἰσχυρόν τε καὶ ἄλκιμον
ὧδε καὶ θρασύν, ὃς τοσούτων
ἀνδρῶν κρατερὸν σθένος 40
ἔσχεν ; | ἦ θεὸς αὐτὸν ὁρμᾷ,
δίκας ἀδίκοισιν ὄφρα μήσεται·
οὐ γὰρ ῥᾴδιον αἰὲν ἔρ-
δοντα μὴ 'ντυχεῖν κακῷ.
πάντ' ἐν τῷ δολιχῷ χρόνῳ τελεῖται. | 45

Στρ.δ'. Αἰγ. Δύο Fοι φῶτε μόνους ἁμαρτεῖν
λέγει, περὶ φαιδίμοισι δ' ὤμοις
ξίφος ἔχειν ἐλεφαντόκωπον·
ξεστοὺς δὲ δύ' ἐν χέρεσσ' ἄκοντας
κηὔτυκτον κυνέαν Λάκαι- 50
ναν κρατὸς πέρι πυρσοχαίτου·
χιτῶνα πορφύρεον
στέρνοις τ' ἀμφί, καὶ οὔλιον
Θεσσαλὰν χλαμύδ'· | ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν 55
φοίνισσαν φλόγα· παῖδα δ' ἔμμεν
πρώθηβον, ἀρηίων δ' ἀθυρμάτων
μεμνᾶσθαι πολέμου τε καὶ
χαλκεοκτύπου μάχας·
δίζησθαι δὲ φιλαγλάους Ἀθάνας. 60

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

205. Πίνδαρος 1. Σκόλιον

Θρασύβουλῳ Ἀκραγαντίνῳ.

Στ. α΄. Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν
τοῦτό τοι πέμπω μεταδόρπιον· ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τε γλυκερὸν καὶ Διωνύσοιο καρπῷ γαρ-
Στ. β΄. καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον· | [γάλισμα
ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι 5
στηθέων ἔξω· πελάγει δ' ἐν πολυχρύσοιο πλούτου
Στ. γ΄. πάντες ἴσον νέομεν ψευδῆ πρὸς ἀκτάν·
ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες...
Στ. δ΄. ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες...
Στ. ε΄...δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον 10
καίπερ πεδ' ἄφθονον βοράν.

206. 2. Ὑπόρχημα

Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις
ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς...
Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς
ἐρευνασάτω μεγαλάνορος Ἡσυχίας τὸ φαιδρὸν φάος,
στάσιν ἀπὸ πραπίδων ἐπίκοτον ἀνελών, 5
πενίας δότειραν, ἐχθρὰν δὲ κουροτρόφον.

207. 3. Θρῆνος

Στ....Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα
[κάτω,
φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβρι-
[θὸς... |
καὶ τοὶ μὲν ἵπποισί τε γυμνασίαις τε, τοὶ δὲ πεσ-
[σοῖς,
τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐ-
[ανθὴς ἅπας τέθαλεν ὄλβος· | 5

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μειγνύντων πυρὶ τηλεφανεῖ παντοῖα
[θεῶν ἐπὶ βωμοῖς. |

Ἀν. ἔνθεν τὸν ἀπείρον' ἐρεύγονται σκότον
βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοὶ...

208. 4. Προσόδιον

Στ. Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου παί-
δεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκί-
νητον τέρας, ἅν τε βροτοὶ
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ 5
τηλέφαντον κυανέας χθονὸς ἄστρον... |

Ἀν...ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσ-
σιν παντοδαπῶν τ' ἀνέμων
ῥιπαῖσιν· | ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδί-
νεσσι θύοισ' ἀγχιτόκοις ἐπέβα νιν, 10
δὴ τότε τέσσαρες ὀρθαὶ
πρέμνων ἀπώρουσαν χθονίων,
ἀν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

209. 5. Διθύραμβος

Ἴδετ' ἐν χορόν, Ὀλύμπιοι,
ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν. | 5
ἰοδέτων λάχετε στεφάνων τὰν ἐαρίδρεπτον
λοιβάν· Διόθεν τέ με σὺν ἀγλαΐᾳ
ἴδετε πορευθέντ' ἀοιδᾶν
δεύτερον ἐπὶ κισσοδέταν θεόν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Βρόμιον ὅν τ' Ἐριβόαν τε βροτοὶ καλέομεν, 10
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμεϊᾶν. |
ἐναργέα τελέων σάματ' οὐ λανθάνει,
φοινικοεάνων ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγῃσιν ἔαρ φυτὰ νεκτάρεα. | 15
τότε βάλλεται, τότ' ἐπ' ἀμβρόταν χθόν' ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μείγνυται,
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

210. 6.

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι,
δαιμόνιον πτολίεθρον...
...ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ' ἐλευθερίας.

211. 7. Παιὰν

Στρ. Ἀκτὶς ἀελίου, τί πολύσκοπε μήσεαι,
ὦ μᾶτερ ὀμμάτων, ἄστρον ὑπέρτατον,
ἐν ἁμέρᾳ κλεπτόμενον; τί δ' ἔθηκας ἀμάχανον
ἰσχύν τ' ἀνδράσιν καὶ σοφίας ὁδόν,
ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα; 5
ἐλαύνεις τι νεώτερον ἢ πάρος; |
ἀλλά σε πρὸς Διός, ἱπποσόα θοάς,
ἱκετεύω, ἀπήμονα
εἰς ὄλβον τινὰ τράποιο Θήβαις,
ὦ πότνια, πάγκοινον τέρας. | 10
< ἦρ' ἀτασθαλίαισι κοτεσσαμένα βροτῶν
πάμπαν μὲν οὐ θέλεις ἐξελέμεν φάος
αἰῶνος ἁγνόν,> πολέμοιο δὲ σᾶμα φέρεις τινός,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος
ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,
ἢ πόντου κενέωσιν ἄρ' ἀμ πέδον
ἢ παγετὸν χθονός, ἢ νότιον θέρος
ὕδατι ζακότῳ ῥέον;
ἢ γαῖαν κατακλύσαισα θήσεις
ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος; |
ὀλοφύρομαι οὐδέν, ὅ,τι πάντων μέτα πείσομαι...

212. 8. Ὀλυμπιονίκης 4.

Ἀσωπίχῳ Ὀρχομενίῳ παιδὶ σταδιεῖ

Στρ.ά. Καφισίων ὑδάτων λαχοῖσαι
ταί τε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ἐρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπί-
[σκοποι,
κλῦτ', ἐπεὶ εὔχομαι· | σὺν γὰρ ὕμμιν τὰ τερπνὰ καὶ
τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς,
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ. |
οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ
κοιρανέοντι χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι πάρα
Πύθιον Ἀπόλλωνα θρόνους,
αἰέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν. |
Στρ.β'. ὦ πότνι' Ἀγλαΐα φιλησί-
μολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου
παῖδες, ἐπακοοῖτέ νυν, Θαλία τε
ἐρασίμολπε, ϝιδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
κοῦφα βιβῶντα· | Λυδῷ γὰρ Ἀσώπιχον τρόπῳ
ἐν μελέταις τ' ἀείδων ἔμολον,
οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια
σεῦ ϝέκατι. | μελαντειχέα νῦν δόμον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Φερσεφόνας ἴθι Ϝαχοῖ, πατρὶ κλυτὰν φέροισ' [ἀγγελίαν, 30
Κλεόδαμον ὄφρ' ἰδοῖσ', υἱὸν εἴπῃς ὅτι Ϝοι νέαν
κόλποις παρ' εὐδόξοις Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν. 35

213. 9. Πυθιονίκης 1.

Ἱέρωνι Αἰτναίῳ ἅρματι

Στρ.α' Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον·
τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν, 5
ἁγησιχόρων ὁπόταν προοιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα. |
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
αἰενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, 10
ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,
Ἀν.α' ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί Ϝοι νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων 15
ἁδὺ κλάιστρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. | καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν 20
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας, ἀμ-
λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν. | [φί τε
Ἐπ.α' ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν 25
Πιερίδων ἀίοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμά-
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος, 30 [κετον,
Τυφὼς ἑκατοντακάρανος· | τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σικελία τ' αὐτοῦ πιέζει 35
στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πανέτης
χιόνος ὀξείας τιθήνα· |
Στρ.β' τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνότατα 40
ἐκ μυχῶν παγαί· ποταμοὶ
δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ- 45
αν φέρει πόντου πλάκα σὺν πατάγῳ. |
κεῖνο δ' Ἀφαίστοιο κρουνοὺς ἕρπετὸν
δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιον προσ-
θαῦμα δὲ καὶ παρ' ἰδόντων ἀκοῦσαι, 50 [ιδέσθαι,
Ἀν.β' οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ. | 55
εἴη, Ζεῦ, τὶν εἴη ϝανδάνειν,
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν 60
[ἀγγέλ-
λων Ἱέρωνος ὑπὲρ καλλινίκου
Ἐπ.β' ἅρμασι. | ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις 65
ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοι-
[κότα γὰρ
καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. | ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει 70
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν. |
Λύκιε καὶ Δάλοι' ἀνάσσων
Φοῖβε, Παρνασσοῦ τε κράναν Κασταλίαν φιλέων 75

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν εὔανδρόν τε χώραν. |
Στρ.γ' ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς, 80
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν. | ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων, 85
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων [δόσιν εὐθύ-
νοι, καμάτων δ' ἐπίλασιν παράσχοι. | 90
Ἀν.γ' ἦκεν ἀμνάσειεν, οἵαις ἐν πολέμοιο μάχαις
τλάμονι ψυχᾷ παρέμειν',
ἁνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν,
οἵαν οὔτις Ἑλλάνων δρέπει, 95
πλούτου στεφάνωμ' ἀγέρωχον. | νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη· σὺν δ' ἀνάγκᾳ φίλον
καί τις ἐὼν μεγαλάνωρ ἔσανεν· | φαντὶ δὲ Λα- [μνόθεν ἕλκει 100
τειρόμενον μεταβάσοντας ἐλθεῖν
Ἐπ.γ' ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πό- [νους Δαναοῖς, 105
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν. |
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς. | 110
Μοῖσα, καὶ παρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων.
χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος. 115

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον. |
Στρ.δ' τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος στάθμας Ἱέρων 120
ἐν νόμοις ἔκτισσε· θέλοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
Δωριεῖς. | ἔσχον δ' Ἀμύκλας ὄλβιοι, 125
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαρι-
[δᾶν βαθύδοξοι
γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς. |
Ἀν.δ' Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ 130
αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραί- 135
ρων τράποι σύμφωνον ἐς ἡσυχίαν. |
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοίνιξ ὁ Τυρσανῶν τ' ἀλα-
[λατὸς ἔχῃ, ναυ-
σίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας, 140
Ἐπ.δ' οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,
ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόντῳ βά-
[λεν ἁλικίαν, 145
Ἑλλάδ' ἐξέλκων βαρείας δουλίας | ἀρέομαι
παρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέω πρὸ Κιθαιρῶνος μά-
[χαν, 150
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ, 155
πολεμίων ἀνδρῶν καμόντων. |
Στρ.ἑ.καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται
μῶμος ἀνθρώπων. | ἀπὸ γὰρ κόρος ἀμβλύνει 160
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις. |
ἀλλ' ὅμως, κρέσσον γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρα-
[τόν ἀψευ- 165
δεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.
Ἀν.ἑ. εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται 170
παρ σέθεν· πολλῶν ταμίας
ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί. |
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις· 175
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλε, κέρδεσιν εὐτράπλοις· | ὀπιθόμβροτον αὔχημα δόξας 180
Ἐπ.ἑ. οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φι-
[λόφρων ἀρετά.
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον 185
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,
οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινανίαν
μαλθακὰν παίδων ὀάροισι δέκονται. | 190
τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· |
εὖ δ' ἀκούειν δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ,
στέφανον ὕψιστον δέδεκται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

214. Πρατίνας

Τίς ὁ θόρυβος ὅδε ; τί τάδε τὰ χορεύματα ;
τίς ὕβρις ἔμολεν ἐπὶ Διονυσιάδα πολυπάταγα θυ-
[μέλαν ; |
ἐμὸς ἐμὸς ὁ Βρόμιος, ἐμὲ δεῖ κελαδεῖν, ἐμὲ δεῖ πα-
[ταγεῖν,
ἀν' ὄρεα σύμενον μετὰ ναϊάδων
οἷά τε κύκνον ἄγοντα ποικιλόπτερον μέλος· | 5
τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλειαν· ὁ δ' αὐλὸς
ὕστερον χορευέτω·
καὶ γάρ ἐσθ' ὑπηρέτας· κώμοις μόνον θυραμάχοις τε
πυγμαχίαισι νέων θέλοι παροίνων
ἔμμεναι στρατηλάτας. | 10
παῖε τὸν φρυνεοῦ
ποικίλου πνοὰν ἔχοντα
φλέγε τὸν ὀλεσισιαλοκάλαμον
λαλοβαρύοπα παραμελορυθμοβάταν
θῆτα, τρυπάνῳ δέμας πεπλασμένον. | 15
ἦν ἰδού· ἅδε σοι δεξιὰ
καὶ ποδὸς διαρριφά, θριαμβοδιθύραμβε κισσόχαιτ' ἄναξ.
ἀλλ' ἄκουε τὰν ἐμὰν δώριον ἁρμονίαν.

215. Εὐριπίδης 1.

Ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν,
μήτε πολιτῶν ἐπὶ πημοσύνην
μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν,
ἀλλ' ἀθανάτου καθορῶν φύσεως 5
κόσμον ἀγήρων, πῇ τε συνέστη
χὤθεν χὤπως,
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέτημα προσίζει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

216. 2.

Ἔγρεσθ' ἔγρεσθ' ἀπὸ κοίτας· ἤδη φέγγος κατὰ γᾶν
γλαυκᾶς ἔλαμψεν Ἕω· φεύγει δ' ἄστρ' εἰς νύχθ' ἱεράν·
μέλπει δ' ἐν δένδρεσι λεπτὰν ἀηδὼν ἁρμονίαν,
ὀρθρευομένα γόοις Ἴτυν Ἴτυν πολύθρηνον. |
σύριγγας δ' οὐριβάται κινοῦσιν ποίμνας ἐλάται· 5
ἵενται δ' ἐς βοτάναν ξανθᾶν πώλων συζυγίαι·
ἤδη δ' εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι·
παγαῖς τ' ἐπ' Ὠκεανοῦ μελιβόας κύκνος ἀχεῖ.

217. Ἀριστοφάνης

Ἄγε, σύννομέ μοι, παῦσαι μὲν ὕπνου,
λῦσον δὲ νόμους ἱερῶν ὕμνων,
οὓς διὰ θείου στόματος θρηνεῖς,
τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν
ἐλελιζομένη διεροῖς μέλεσιν 5
γένυος ξουθῆς· |
καθαρὰ χωρεῖ διὰ φυλλοκόμου
μίλακος ἠχὼ πρὸς Διὸς ἕδρας,
ἵν' ὁ χρυσοκόμας Φοῖβος ἀκούων
τοῖς σοῖς ἐλέγοις ἀντιψάλλων 10
ἐλεφαντόδετον φόρμιγγα, θεῶν
ἵστησι χορούς· |
διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
ξύμφωνος ὁμοῦ
θεία μακάρων ὁλολυγή. 15

218. Εὐριπίδης

Στρ. Ἐρεχθεΐδαι, τὸ παλαιὸν ὄλβιοι
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς
χώρας ἀπορθήτου τ' ἀποφερβόμενοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κλεινοτάταν σοφίαν, ἀεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς 5
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι· |

Ἀντ. τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοὰς
τὰν Κύπριν κλήζουσιν ἀφυσσαμέναν
χώραν καταπνεῦσαι μετρίας ἀνέμων αὔρας· | 10
ἀεὶ δ' ἐπιβαλλομέναν
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς.

219. Ἀδέσποτον. Παιάν.

Κλῦτε, Μοῖραι, Διὸς αἴτε παρὰ θρόνον ἀγχοτάτω θεῶν
ἑζόμεναι περιώσι' ἄφυκτά τε μήδεα
παντοδαπᾶν βουλᾶν ἀδαμαντίναισιν ὑφαίνετε κερκίσιν,
Αἶσα καὶ Κλωθὼ Λάχεσίς τ', εὐώλενοι
κοῦραι Νυκτός, 5
εὐχομένων δ' ἐπακούσατ', οὐράνιαι χθόνιαί τε
δαίμονες ὦ πανδείμαντοι· |
πέμπετ' ἄμμιν ῥοδόκολπον
Εὐνομίαν λιπαροθρόνους τ' ἀδελφάς, Δίκαν
καὶ στεφανηφόρον Εἰρήναν· πόλιν τε τάνδε βαρυφρόνων λε-
συντυχιᾶν. [λάθοιτε 10

220. Ἀρίφρων. Παιάν.

Ὑγίεια, πρεσβίστα μακάρων μετὰ σεῦ ναίοιμι τὸ λει-
βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος εἴης· | [πόμενον
εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶς, ἢ
[πόθων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὓς κρυφίοις Ἀφροδίτας ἕρκεσιν θηρεύομεν, 5
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμ-
μετὰ σεῖο, μάκαιρ' Ὑγίεια, τέθαλε [πνοὰ πέφανται,
πάντα καὶ λάμπει Χαρίτων ὄαρος.
σέθεν δὲ χωρὶς οὔ τις εὐδαίμων ἔφυ.

221. Ἀριστοτέλης. Παιάν.

Ἀρετά, πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι παρθένε μορφᾶς
καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας· | 5
τοῖον ἐπὶ φρένα βάλλεις
καρπὸν ἰσαθάνατον χρυσοῦ τε κρείσσω
καὶ γονέων μαλακαυγήτοιό θ' ὕπνου· |
σεῦ δ' ἕνεχ' οὐκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι
πόλλ' ἀνέτλασαν ἔργοις 10
σὰν ἀγρεύοντες δύναμιν.
σοῖς δὲ πόθοις Ἀχιλεὺς Αἴας τ' Ἀίδαο δό-
[μους ἦλθον· |
σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς Ἀταρνέος ἔντροφος ἀε-
[λίου χήρωσεν αὐγᾶς·
τοιγὰρ ἀοίδιμος ἔργοις, ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι,
Μναμοσύνας θύγατρες, Διὸς ξενίου σέβας αὔξουσαι
[φιλίας τε γέρας βεβαίου. 15

222. Ἀδέσποτον

Τύχα, μερόπων ἀρχὰ
καὶ τέρμα· τὺ καὶ σοφίας θακεῖς ἕδρας
καὶ τιμὰν βροτέοις ἐπέθηκας ἔργοις·
καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν, ἅ τε χάρις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λάμπει περὶ σὰν πτέρυγα χρυσέαν· 5
καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει·
τὺ δ' ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσιν,
καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ, προφερεστάτα θεῶν.

Σκόλια :

223. 1.

Παλλὰς Τριτογένει', ἄνασσ' Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ.

224. 2.

Εἴθ' ἐξῆν, ὁποῖός τις ἦν ἕκαστος,
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα, κλήσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

225. 3.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

226. 4.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει·
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

227. 5. Καλλίστρατος

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅτε τὸν τύραννον κτανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

φίλταθ' Ἁρμόδι', οὔτι που τέθνηκας, 5
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην τέ φασιν ἐσθλὸν Διομήδεα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων, 10
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

Αἰεὶ σφῷν κλέος ἔσσεται κατ' αἶαν,
φίλταθ' Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτι τὸν τύραννον κτανέτην 15
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

228. 6. Ὑβρίας

Ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω·
τούτῳ δεσπότας μνοΐας κέκλημαι. 5
τοὶ δὲ μὴ τολμῶντ' ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός,
πάντες γόνυ πεπτηῶτες ἁμὸν
αἰεὶ σέβοντι προσκυνέοντί τε δεσπόταν
καὶ μέγαν βασιλῆα φωνέοντες. 10

229. 7.

Ὁ καρκίνος ὧδ' ἔφα
χαλᾷ τὸν ὄφιν λαβών·
„Εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν, καὶ μὴ σκολιὰ φρονεῖν."

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

230. 8-

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ 'ταῖρ', ὑποδύεται·
φράζευ μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

231. Ἡ χελιδών.

Ἦλθ', ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα
καὶ καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα. | 5
παλάθαν σὺ προκυκλεῖν
ἐκ πίονος οἴκου
οἴνου τε δέπαστρον
τυρῶν τε κάνυστρον.
καὶ πύρνα χελιδὼν 10
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. | πότερ' ἀπίωμες ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομες·
ἢ τὰν θύραν φέρωμες ἢ θοὐπέρθυρον
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν· 15
μικρὰ μέν ἐστι, ῥᾳδίως νιν οἴσομες. |
ἂν δὴ φέρῃς τι,
μέγα δή τι φέροις. |
ἄνοιγ', ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία. 20

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀνακρεόντεια:

232. 1.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ᾽ εἷλέ πώ με ζῆλος
οὐδὲ φθονῶ τυράννοις. |
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα·
τὸ σήμερον μέλει μοι,
τὸ δ᾽ αὔριον τίς οἶδεν;

233. 2.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε᾽ αὐτήν,
πίνει θάλασσ᾽ ἀναύρους,
ὁ δ᾽ ἥλιος θάλασσαν,
τὸν δ᾽ ἥλιον σελήνη. |
τί μοι μάχεσθ᾽, ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

234. 3.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἁ βάρβιτος δὲ χορδαῖς
ἔρωτα μοῦνον ἠχεῖ. |
ἤμειψα νεῦρα πρός ἣν
καὶ τὴν λύρην ἅπασαν
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
ἔρωτας ἀντεφώνει. |
χαίροιτε λοιπὸν ἡμῖν,
ἥρωες· ἡ λύρη γὰρ
μούνους ἔρωτας ᾄδει.

235. 4.

Ἔρως ποτ᾽ ἐν ῥόδοισιν
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ᾽ ἐτρώθη·
τὸν δάκτυλον παταχθεὶς
τᾶς χειρὸς ὠλόλυξεν·
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήρην
,Ὄλολα, μᾶτερ, εἶπεν,
ὄλολα κἀποθνήσκω·
ὄφις μ᾽ ἔτυψε μικρὸς
πτερωτός, ὃν καλοῦσιν
μέλιτταν οἱ γεωργοί.‘ |
ἃ δ᾽ εἶπεν·, Εἰ τὸ κέντρον
πονεῖ τὸ τᾶς μελίττας,
πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;‘

236. 5.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐπόει λαβὼν σίδηρον. |
ἀκίδας δ᾽ ἐβαπτε Κύπρις
μέλι τὸ γλυκὺ λαβοῦσα·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ δ' Ἔρως χολὴν ἔμισγεν. |
ὁ δ' Ἄρης ποτ' ἐξ αὐτῆς
στιβαρὸν δόρυ κραδαίνων
βέλος ηὐτέλιζ' Ἔρωτος· 10
ὁ δ' Ἔρως, Τόδ' ἐστίν, εἶπεν,
βαρὺ· πειράσας νοήσεις.' |
ἔλαβεν βέλεμνον Ἄρης·
ὑπεμειδίασε Κύπρις.
ὁ δ' Ἄρης ἀναστενάξας 15
,Βαρύ, φησίν, ἆρον αὐτό.'
ὁ δ' Ἔρως ,Ἔχ' αὐτό 'φησίν.

237. *6.*

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκὼς
βασιλεὺς ὅπως ἀείδεις· |
σὰ γάρ ἐστι κεῖνα πάντα, 5
ὁπόσα βλέπεις ἐν ἀγροῖς,
ὁπόσα τρέφουσιν ὕλαι.
σὺ δ' ὁμιλία γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσιν, 10
θέρεος γλυκὺς προφήτης· |
φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτός,
λιγυρὴν δ' ἔδωκεν οἴμην. |
τὸ δὲ γῆρας οὔ σε τείρει, 15
σοφέ, γηγενής, φίλυμνε·
ἀπαθὴς δ', ἀναιμόσαρκε,
σχεδὸν εἶ θεοῖς ὅμοιος.

Ὕμνοι:

238.

Ἀριστόνοος Νικοσθένους Κορίνθιος

Ἀπόλλωνι Πυθίῳ τὸν ὕμνον.

α'. Πυθίαν ἱερόκτιτον
ναίων Δελφίδ' ἀμφὶ πέτραν
ἀεὶ θεσπιόμαντιν ἕ-
δραν, ἰὴ ἰὲ Παιάν,
γ'. ἔνθ' ἀπὸ τριπόδων θεο-
κτήτων χλωρότομον δάφναν 10
σείων μαντοσύναν ἐποι-
χνεῖς, ἰὴ ἰὲ Παιάν,
ε'. ἁγνισθεὶς ἐνὶ Τέμπεσιν
βουλαῖς Ζηνὸς ὑπειρόχου,
ἐπεὶ Παλλὰς ἔπεμψε Πυ-
θώδε. ἰὴ ἰὲ Παιάν, 20
η'. ὅθεν Τριτογενῆ Προναί
αν ἐν μαντείαις ἁγίαις
β'. Ἄπολλον, Κοίου τε κόρας 5
Λατοῦς σεμνὸν ἄγαλμα καὶ
Ζηνὸς ὑψίστου μακάρων
βουλαῖς, ὦ ἰὲ Παιάν,
δ'. φρικώεντος ἐξ ἀδύτου
μελλόντων θέμιν εὐσεβῆ
χρησμοῖς εὐφθόγγου τε λύρας 15
αὐδαῖς, ὦ ἰὲ Παιάν. |
ζ'. πείσας Γαῖαν ἀνθοτρόφον
Θέμιν τ' εὐπλόκαμον θεὰν
αἰὲν εὐμβάνους ἕδρας
ἔχεις, ὦ ἰὲ Παιάν. |
θ'. χάριν παλαιᾶν χαρίτων
